2748

JULIANI
IMP.
OPERA.

3208

2-J-6 38



BIBLIOTECA
DEL
Rey N. Señor.

VII H 6

3208

~~414~~
415
S. Bart. 304

νοειν τὰ ὕψη

εις ανιξεις νοειν

Iuliani Imperatoris

Convivium:

N.° 304.

115

## ἰουλιανοῦ αὐτοκράτορος συμπόσιον· ἢ κρόνια

ἐπειδὴ δίδωσιν ὁ θεὸς παίζειν· ἔστι γὰρ κρόνια· γελοῖον δὲ οὐδὲν οὐδὲ τερπνὸν οἶδα ἐγώ, τὸ μὴ καταγελάστως φράσαι, φροντίδος εἶναι ἄξιον ἔοικεν ὦ φιλότης· εἶτα τίς οὕτω παχὺς ἐστὶ καὶ ἀρχαῖος ὦ καῖσαρ, ὥστε καὶ παίζειν πεφροντισμένα· ἐγὼ δὲ ᾤμην τὴν παιδιὰν ἄνεσιν εἶναι ψυχῆς· καὶ ἀπαλλαγὴν τῶν φροντίδων· ὀρθῶς γε σὺ τοῦτο ὑπολαμβάνων· ἐμοὶ δὲ οὐ ταύτῃ ἔοικεν ἀπαντᾶν τὸ χρῆμα· πέφυκα γὰρ οὐδαμῶς ἔγωγε ἐπιτήδειος οὔτε σκώπτειν οὔτε παρῳδεῖν· οὔτε γελοιάζειν· ἐπεὶ δὲ χρὴ τῷ νόμῳ πείθεσθαι τοῦ θεοῦ, βούλει σοι ἐν παιδιᾷ μῦθον διεξέλθω πολλὰ ἴσως ἔχοντα ἀκοῆς ἄξια· λέγοις ἂν καὶ μάλα ἀσμένῳ ἐπεὶ καὶ αὐτὸς οὐ καταφρονῶ τοὺς μύθους· οὐδὲ πάντῃ πᾶσιν ἐ-



γελαίμος τοὺς ὀρθῶς ἔχοντας.
ἀκόλουθα σοί τε καὶ φίλα τῷ σοφῷ
μᾶλλον δὲ τῷ κοινῷ πλάτωνι
διαμορφούμενος ἐπεὶ καὶ αὐτὸς ἐν
μύθοις, πολλὰ ἐσπουδάσθαι.
λέγεις καὶ μάλιστα ταῦτα ἀληθῆ,
τίς δὲ καὶ ποδαπὸς ὁ μῦθος.
οὐ τῶν παλαιῶν τις ὁ ποιητὴς
αἴσωπος ὁ ποιήσεν. ἀλλ' ἅ γε
πλάσμα λέγεις ἑρμοῦ. πεπυσ-
μένος γὰρ αὐτὸν ἐκεῖθεν σοι φράσω.
εἴ τε καὶ τἀληθὲς οὕτως ἔχει. εἴ
τε μικτόν τι ἐστὶν ἀμφοῖν ἀληθοῖς
καὶ ψευδοῖς αὐτὸ ἐπιδείξει τὸ πρά-
γμα. τουτὶ μὲν οὖν ἤδη μυθικῶς
ἅμα καὶ ῥητορικῶς, ἐξηρτήσθω σοι
τὸ προοίμιον. ἀλλ' εὖ μοι τὸν λό-
γον αὐτὸν ὁποῖος ποτὲ ἐστὶν ἤ-
δη διέξελθε μανθάνοις ἄν. θύων
Ὁ ῥωμύλος τὰ κρόνια, πάντας
ἐκάλει τοὺς θεούς, καὶ δὴ καὶ αὐ-
τοὺς τοὺς καίσαρας. κλῖναι δὲ
ἐτύγχανον παρεσκευασμέναι.
τοῖς μὲν θεοῖς, ἄνω κατ' αὐτὸ
φασὶν, οὐρανοῦ τὸ μετέωρον. οὐ-
λύμπου δ' ὅθι φασὶ θεῶν ἕδος
ἀσφαλὲς αἰεί. λέγεται γὰρ μεθ' ἡ-
ρακλέα παρελθεῖν ἐκεῖσε καὶ ὁ κυ-

ριος· ὧ δὴ χρὴ καλεῖν αὐτὸν ὀνό-
ματι, τῇ θέᾳ πειθομένοις φημὶ
τοῖς μὲν οὖν θεοῖς ἑκάστοις παρεσ-
κευάσατο τὸ συμπόσιον· ὑπ' αὐτὴν
δὲ τὴν σελήνην, ἐν τοῖς μετεώρου-
τοῦ ἀέρος, ἐδέδοκτο τοῖς καὶ σε-
ρας διατρίβειν· ἀνάγκῃ δὲ αὐτοῖς
ἥ τε τῶν σωμάτων κουφότης, ἅ-
περ ἐτύγχανον ἠμφιεσμένοι, καὶ
ἡ περιφορὰ τῆς σελήνης. κλίμαι
μὲν οὖν ἑκατὸν τέτταρες, δύο πρέ-
πειν τοῖς μεγίστοις θεοῖς· ἐνέμου-
μεν οὖν ἦν ἡ τοῦ χρόνου πλήθου-
σης καὶ πολλῷ ἐν τῷ μέλανι καὶ
θέας αὐτὴν κρυπτούσης· ὥστε
οὐ θέας οἷόν τε ἦν ἀντιβλέπειν·
ἔπασχε δὲ τοῦτο, πρὸς τὴν ἐβε-
νον ἑκάστην τὰ ὄμματα, δι' ὑπερ-
βολὴν τῆς λαμπηδόνος· ὅπερ
οἶμαι πρὸς ἥλιον ὁ παρ' αὐτοῦ τῷ
δίσκῳ πῶς ἀτενέστερον προσβλέ-
πει· ἡ δὲ τοῦ Διός, ἦν ἀργύρου μὲν
στιλπνοτέρα, χρυσίου δὲ λευκοτέρα
τοῦτο ἅ τε ἤλεκτρον χρὴ καλεῖν εἴ-
τε ἄλλο τι λέγειν, οὐ σφόδρα ἔχε-
μοι γνωρίμως· ἐκ τῶν μεταλλευο-
μένων ὁ Ἑρμῆς φασι· χρυσο-
θρόνος δὲ παρ' ἑκάτερον ἐκαθέ-

ζετο· ἥ τε μήτηρ καὶ ἡ θυγάτηρ· ἥρα-
μὲν παρὰ τὸν δία· ῥέα δὲ, παρὰ
τὸν κρόνιον· τὸ δὲ τῶν θεῶν κάλ-
λος, οὐδὲ ἕκαμος ἐπεξήει τῷ λό-
γῳ, μεῖζον εἶναι λέγων αὐτὸ καὶ μὴ-
θεατόν· ἀκοῇ δὲ καὶ ῥήμασιν οὔτε προ-
αισθῆναι ῥᾴδιον, οὔτε παραδεχθῆ-
ναι δυνατόν· οὐχ οὕτω τις ἔσται καὶ-
φανεῖται μεγαλόφωνος, ὥστε τὸ τὸ-
μέγεθος ἐκεῖνο φάσαι τοῦ κάλλους
ὁπόσον ἐπιπρέπει τῇ τῶν θεῶν
ὄψει· παρεσκευάσθω δὲ καὶ τοῖς ἄ-
λλοις θεοῖς, ἑκάστῳ θρόνος ἢ κλίνη
κατὰ πρεσβείαν· ἤριζε δὲ οὐδείς·
ἀλλ' ὥσπερ ὅμηρος ὀρθῶς ποιῶν
ἔφη, δοκεῖ μοι παρὰ τῶν μουσῶν
αὐτῶν ἀκηκοὼς ἔχειν ἕκαστον τῶν-
θεῶν θρόνον· ἐφ' οὗ θέμις πάντως
αὐτῷ καθῆσθαι πρέσβως καὶ ἀμετα-
κίνητος. ἐπεὶ καὶ πρὸς τὴν πα-
ρουσίαν τοῦ πυρὸς ἐξανιστάμενοι
ταράττουσιν οὐδαμῶς τὰς καθέ-
δρας οὐδὲ μεταβαίνουσιν· οὐδὲ-
ὑφαρπάζουσιν ἀλλήλων· γνωρί-
ζει δὲ ἕκαστος τὸ προσῆκον αὐτῷ·
πάντων σὺν κύκλῳ τῶν θεῶν κα-
θημένων, ὁ σειληνὸς ἐρωτικῶς ἔ-
χειν μοι δοκῶν τοῦ διονύσου καλοῦ

καὶ νέου· καὶ τῷ πατρὶ τῷ διῒ πα-
ραπλησίου, πλησίον αὐτοῦ τροφεὺς
τὶς οἷα καὶ παιδαγωγὸς καθῆστο·
τά τε ἄλλα φιλοπαίγμονα καὶ φιλό-
γελων καὶ χαριτοδότην ὄντα τὸν
θεὸν εὐφραίνων· καὶ δὴ τὸ σκώπτειν·
τὰ πολλὰ καὶ γελοιάζειν· ὡς δὲ
Καὶ τὸ τῶν καισάρων συνεκροτεῖτο
σύμποσιον ἅπασι, πρῶτος ἰουλί-
ος καῖσαρ ὑπὸ φιλοτιμίας αὐτῷ
βουλόμενος ἐρίσαι τῷ διῒ περὶ
τῆς μοναρχίας· ἐς ὃν ὁ σιληνὸς
βλέψας, ὅρα ἔφη ὦ ζεῦ μή ποτε
ὁ ἀνὴρ οὗτος ὑπὸ φιλαρχίας, ἀ-
φελέσθαι καὶ τὴν βασιλείαν διανο-
ηθῇ· καὶ γὰρ ὡς ὁρᾷς, ἐστὶ μέγας
καὶ καλὸς ἐμοὶ γοῦν ἔοικε καὶ μηδὲν ἄ-
λλο· τὰ γοῦν περὶ τὴν κεφαλὴν
ἐστὶ προσόμοιος· παίζοντος ἔτι·
τοιαῦτα τοῦ σιληνοῦ· καὶ τῶν θεῶν
οὐ σφόδρα προσεχόντων αὐτῷ, ὀ-
κταβιανὸς ἐπεισέρχεται· πο-
λλὰ ἀμείβων ὥσπερ οἱ χαμαιλέ-
οντες χρώματα· καὶ νῦν μὲν ὠχρι-
ῶν· αὖθις δὲ ἐρυθρὸς γινόμενος·
Εἶτα μέλας καὶ ζοφώδης καὶ συννε-
φής· ἀνίετο δὲ αὖθις πρὸς ἀφρο-
δίτην καὶ χάριν· εἶναί τε ἤθελε τὰς

βολὰς τῶν ὀμμάτων, ὁ ποῖος ἐστὶν
ὁ μέγας ἥλιος· οὐδὲ ἅμα γὰρ οἱ τῶν
πάντων ἄν τι βλέπειν ἠξίουν καὶ
ὁ σιληνὸς βαβαὶ ἔφη τοῦ παντο
δαποῦ τούτου θηρίου· τί ποτε
ἄρα δεινὸν ἡμᾶς ἐργάσεται· παῦ
σαι εἶ σεληνὲ ὁ ἀπόλλων· ἐγὼ
γὰρ αὐτὸν τουτῳ ζήνωνι παραδώσω
αὐτίκα ὑμῖν ἀποφανῶ χρυσὸν
ἀκήρατον· ἀλλὰ ἴθι ἔφη ὦ ζήνων
ἐπιμελήθητι τοῦ μοῦ θρέμματος
ὁ δὲ ἐπακούσας· εἶτα ἐπάσας αὐτῷ
μικρὰ τῶν δογμάτων, ὥσπερ οἱ
τὰς ζαμόλξιδος ἐπῳδὰς θρυ
λοῦντες, ἀπέφηνεν ἄνδρα ἔμ
φρονα καὶ σώφρονα· τρίτος ἐ
πεισέδραμεν αὐτῷ,
Τιβέριος· σεμνὸς τὰ πρόσωπα
καὶ βλοσυρὸς σῶφρόν τε ἅμα
καὶ πολεμικὸν βλέπων· ἐπιστρα
φέντος δὲ πρὸς τὴν καθέδραν, ὤ
φθησαν ὠτειλαὶ κατὰ τῶν νώτων
μυρίαι· καυτῆραί τινες καὶ ξεσ
ματα· καὶ πληγαὶ χαλεπαὶ καὶ
μώλωπες ὑπό τε ἀκολασίας
καὶ ὠμότητος· ψῶραί τινες καὶ
λειχῆνες οἷον ἐγκεκαυμέναι· εὐ
θὺς ὁ σιληνὸς ἀλλοῖ μοι ξεῖνε φάνης

νεὸν ἢ τὸ πάροιθεν εἶπον, ἔδο-
ξεν αὐτοῦ φαίνεσθαι σπουδαιότε-
ρος· καὶ ὁ διόνυσος πρὸς αὐτόν· τί
δῆτα ἅπερ ὦ παππίδιον σπου-
δάζης· καὶ ὅς, ἐξέπληξέ με ὁ
γέρων οὑτοσὶ ὁ σάτυρος ἔφη, καὶ
πεποίηκεν ἐκλαθόμενον ἐμαυτοῦ,
τὰς ὁμηρικὰς προβάλλεσθαι μού-
σας· ἀλλ᾽ ἄσεται ἅπερ ἔλεξη τούτων· λέγεται γὰρ αὐτὸς καὶ γραμμα-
τιστὴν τινὰ τοῦτο ἐργάσασθαι.
οἰμώζων μὲν οὖν ἅπερ ἐν τῷ
νησυδρίῳ τὰς καπρέας αἰνι-
πτόμενος τὸν ἄθλιον ἁλιέα ψη-
χέτος. ταῦτα ἔτι παιζόντων αὐτῶν·
Ἐπεισέρχεται θηρίον πονηρόν· ἅτε
οἱ θεοὶ πάντες, ἀπέστρεψαν τὰ
ὄμματα· κἆτα αὐτὸν ἡ δίκη δίδω-
σι ταῖς ποιναῖς· αἱ δέ, ἔρριψαν ἐς
τάρταρον· οὐδὲν οὖν ἔσχεν ὁ σιλη-
νὸς ὑπὲρ αὐτοῦ φάσαι· τοῦ κλαυ-
δίου δὲ εἰσελθόντος, ὁ σιλη-
νὸς ἄρχεται τῶν ἀριστοφάνους ἱ-
ππέας ᾄδειν· ἀντὶ τοῦ δήμου
κολακεύων δῆθεν τὸν κλαύδιον.
Εἶτα πρὸς τὸν κυρῖνον ἀποιδών,
ἀδικεῖς εἶπεν ὦ κυρῖνε, ἀπόγο-
νον ἄγων ἐς τὸ συμπόσιον δίχα-

τῶν ἀπελευθέρων Ναρκίσσου καὶ
Πάλλαντος· ἀλλ' ἴθι εἰπὲ μέμ-
ψον ἐς ἐκάρους· ἀβουλὰ δὲ καὶ τὴν
γαμετὴν Μεσσαλίναν· ἐστὶ γὰρ ἐκ κω-
μῳδίχα· τουτὶ τῆς τραγῳδίας
τὸ δορυφόρημα· μικροῦ δέω φάναι
καὶ ἄψυχον. εἰσέρχεται λέγον-
τι τῷ Σιληνῷ, Νέρων μετὰ τῆς
κιθάρας καὶ τῆς δάφνης. εἶτα
ἀποβλέψας ἐκάμψας πρὸς τὸν
Ἀπόλλωνα, οὗτος εἶπεν ἐπὶ
σὲ παρασκευάζεται· καὶ ὁ βασιλεὺς
Ἀπόλλων ἀλλ' ἔγωγε αὐτὸν εἶπεν
ἀποστεφανώσω ταχέως, ὅτι με
μὴ πάντα μιμεῖται· μηδὲ ἐμοὶ ὁ
μιμεῖται γίνεται μοι μιμητὴς
δίκαιος· ἀποστεφανωθέντα δὲ αὐ-
τὸν, ὁ Κωκυτὸς εὐθέως ἥρπασεν·
ἐπὶ τούτῳ πολλοὶ καὶ παντοδα-
ποὶ συνέτρεχον· Βίνδικες· Γάλ-
βαι· Ὄθωνες· Βιτέλλιοι· καὶ ὁ Σι-
ληνὸς τούτων ἡ πληθὺς τῶν μονάρ-
χων τὸν δῆμον· πόθεν ἐξευρήκατε
ὦ θεοί· τυφόμεθα γοῦν ὑπὸ τοῦ
καπνοῦ· φείδεται γὰρ οὐδὲ τῶν
ἀναγκαιοτέρων ταυτὶ τὰ θηρία· καὶ
ὁ Ζεὺς ἀπιδὼν πρὸς τὸν ἀδελ-
φὸν αὐτοῦ Σάραπιν· καὶ τὸν Οὐεσπα-

σίαμον διάξας· πέμπετε ἅπτε τὸν
σμικρίνην τοῦτον, ἀπὸ τῆς αὐτοῦ
ποτοῦ ταχέως· ἵνα τὴν φλόγα ταύ-
την κατασβέσῃ· τῶν παίδων δὲ
τὸν πρεσβύτερον μέν, παίζειν κε-
λεύε μετὰ τῆς ἀφοδίτης τῆς
πανδήμου· τὸν νεώτερον δέ, τῷ
σικελικῷ θηρίῳ παραπλησίως
κλοιοδίκον· παρῆλθεν ἐπὶ τού-
τοις γέρων·

Ὄφθημαι καλός· λαμπρὰ γάρ ἐστιν ὅ-
τε καὶ ἐν τῷ γήρᾳ τὸ καλός· ἐν τῷ
χάριν ὡραιότατος· χρηματῆσαι
δικαιότατος· ἠδέσθη τοῦτον ὁ
σάλλωνος καὶ ἀπεσιώπησεν· εἶ-
τα ὁ ἑρμῆς· ὑπὲρ δὲ τούτου εἶπεν
οὐθὲν ἡμῖν λέγας· καὶ μὰ δί' ἔφη
μέμφομαί γε ὑμᾶς τῆς ἀνισότητος·
τῷ γὰρ φονικῷ θηρίῳ τρὶς πέντε
νέμαντε ἐνιαυτοῖς, ἕνα μόλις ἐ-
δώκατε τούτῳ βασιλεῦσαι· ἀλλὰ
μὴ μέμφου ἅπερ ὁ ζεύς:

Ὡς ὁ τραϊανὸς ἆσον ἤρχετο φέρων
ἐπὶ τὸν ὦμον τὰ τρόπαια· τό τε
παρθικὸν καὶ γετικόν· ἰδὼν δὲ αὐ-
τὸν ὁ σάληνος, ἔφη λανθάνειν τε
ἅμα καὶ ἀκούεσθαι βουλόμενος·
ὥρα νῦν τῷ δεσπότῃ διῒ σκοπεῖν

ὁ πάππος ὁ γραμματικὸς αὐτὸν φρου-
ρήσεται· μετὰ τοῦτον εἰσέρχε-
ται βαθεῖαν ἔχων τὴν ὑπήνην
ἀνὴρ σοβαρὸς· τά τε ἄλλα· καὶ
δὴ καὶ μουσικὴν ἐργαζόμενος·
εἴς τε τὸν οὐρανὸν ἀφορῶν πο-
λλάκις καὶ πολυπραγμονῶν
τὰ ἀπόρρητα· τοῦτον δὲ ἰδὼν
ὁ σάληνος, ἔφη· τί δὲ ὑμῖν οὗτος
ὁ σοφιστὴς δοκεῖ· μῶν ἀντίνοον
τινὰ περισκοπεῖ· φρασάτω τις
αὐτῷ μὴ παρεῖναι τὸ μειράκιον ἐν-
θάδε· καὶ παυσάτω τοῦ λήρου
καὶ τῆς φλυαρίας, αὐτὸν, ἐπὶ-
τούτοις ἀνὴρ εἰσέρχεται σώφρων
οὔτι γε ἐς ἀφροδίσια· ἀλλὰ τὰ ἐς
τὴν πολιτείαν· ἰδὼν αὐτὸν ὁ
σάληνος ἔφη· βαβαὶ τῆς μικρο-
λογίας εἷς ἆρα μοι δοκεῖ τῶν δια-
πριόντων τὸ κυμῖνον ὁ πρεσβύ-
της οὗτος· ἐπεισελθούσης δὲ
αὐτῷ τῆς τῶν ἀδελφῶν ξυνω-
ρίδος· Βήρου καὶ λουκίου, δει-
νῶς ὁ σάληνος συνεστάλη· παί-
ζειν γὰρ οὐκ εἶχεν οὐδὲ σκώ-
πτειν μάλιστα, τὸν Βῆρον· καί-
τοι καὶ τούτου τὰ περὶ τὸν υἱὸν
καὶ τὴν γυναῖκα πολυπραγμο-

μων ἁμαρτήματα· τὴν μὲν, ὅ-
τι πλέον ἢ προσῆκεν ἐπέν-
θησεν· ἄλλως τε οὐδὲ κοσμί-
αν οὖσαν· τὸν δὲ, ὅτι τὴν ἀρ-
χὴν ἀπολλυμένην περι-
εῖδεν· ἔχων καὶ ταῦτα σπουδαῖ-
ον κηδεστὴν· ὃς, τῶν τε κοινῶν
ἂν προέστη κάλλιον καὶ δὴ καὶ τοῦ
παιδὸς αὐτοῦ βέλτιον ἂν ἐ-
πεμελήθη, ἢ αὐτὸς αὐτοῦ καί-
περ οὖν ταῦτα πολυπραγμο-
νῶν ᾐδεῖτο τὸ μέγεθος αὐτοῦ
τῆς ἀρετῆς· τὸν γε μὴν υἱέα· οὐ-
δὲ τοῦ σκωφθῆναι νομίσας ἄξι-
ον ἀφῆκεν· ἔπεσεν καὶ αὐ-
τὸς εἰς τὴν γῆν οὐδαμῶς ἵ-
στασθαι καὶ παραμένειν τοῖς
ἥρωσιν. Εἰσέρχεται περ-
τίναξ τὸ

Συμπόσιον τὴν σφαγὴν ὀδυρόμε-
νος· ἡ δίκη δὲ αὐτὸν κατελεήσασα·
ἀλλ' οὐ χαιρήσουσιν εἶπεν οἱ του-
των αἴτιοι· καὶ σὺ δὲ ὦ περτί-
ναξ ἠδίκεις· κοινωνῶν τῆς ἐπι-
βουλῆς. ὅσον ἐπὶ τοῖς σκέμμα-
σιν ὧν ὁ μάρκου παῖς ἐπεβου-
λεύθη· μετὰ τοῦτον ὁ σεβῆρος·
ἀνὴρ πικρίας γέμων· κολαστικὸς

ὑπὲρ τούτου δὲ ἀπεῖπεν ὁ Σάλημος,
οὐδὲν λέγω· φοβοῦμαι γὰρ αὐτοῦ
τὸ λίαν ἀπηνὲς καὶ ἀπαραί-
τητον· ὡς δὲ ἔμελλεν αὐτὸν κα-
τὰ παιδάρι διασωϊέναι, πό-
ρρωθεν ἂν τὰ διεκώλυσεν ὁ μῖμος
ἐπιγνοὺς δὲ σαφῶς, τὸν μὲν νε-
ώτερον ἀφῆκε· τὸν δὲ πρεσβύ-
τερον· τιμωρίαν ἔπεμψε τίσον-
τα· μακρῖνος ἐνθαῦτα σοφὸς·
μιαιφόνος· Εἶτα τὸ ἐκ τῆς ἐ-
μέσης παιδάριον· πόρρω που
τῶν ἱερῶν ἀπηλαύνετο περι-
βόλων· ὁ μὲν σῦρος ἀλέξαν-
δρος ἐν ἐσχάτοις που καθήμενος.
τὴν αὐτοῦ συμφορὰν ποτριόμε-
νος:

Καὶ ὁ Σάλημος ἐπισκώπτων, αὐ-
τῷ ἐπεῖπεν· ὦ μωρὲ καὶ μεγα-
μήτιε· τηλικοῦτος ὤν, οὐκ αὐ-
τὸς ἤρχες τῶν σεαυτοῦ· τὰ χρή-
ματα δὲ ἐδίδως τῇ μητρί· καὶ
οὐκ ἐπείσθης ὅσου κράτιον ἂν μά-
λισ κἂν ἦν αὐτὰ τοῖς φίλοις ἢ
θησαυρίζαν· ἀλλ' εἴποτε ἀπαιτῇ ἡ
δίκη πάντας αὐτοὺς ὅσοι με-
ταίτιοι γεγόνασι τούτων, κολα-
σθησομένους παραδώσω· καὶ

οὕτως ἀνάθη τὸ μειράκιον· ἐπὶ-
τούτῳ παρῆλθεν ἄλλος γαλιηνὸς
μετὰ τοῦ πρς· ὁ μέν, τὰ δεσμὰ
τῆς αἰχμαλωσίας ἔχων· ὁ δὲ-
στολῇ τε καὶ κινήσει χρώμενος μα-
λακωτέρᾳ ὥσπερ αἱ γυναῖκες·
καὶ ὁ σιληνὸς πρὸς μὲν ἐκεῖνον·
τίς οὗτος ὁ λευκολόφας προστά-
ρος ἡγεῖται· ἔφη πρὸς δὲ τὸν-
γαλιηνόν· ὃς καὶ χρυσὸν ἔχων-
πάντη τρυφᾷ ἠΰτε κούρη· τού-
τοις δὲ ὁ ζεὺς ὥσπερ τῆς ἐκεῖσε
θοίνης ἐξελάτην· τούτοις ἐ-
πεισέρχεται κλαύδιος εἰς ὃν-
ἀπιδόντες οἱ θεοὶ πάντες, ἠ-
γάσθησάν τε· αὐτὸν τῆς μεγαλο-
ψυχίας· καὶ ἐπένευσαν αὐτοῦ τῷ-
γένει τὴν ἀρχήν· δίκαιον εἶναι νο-
μίσαντες οὕτω φιλοπάτριδος
ἀνδρὸς ἐπὶ πλεῖστον εἶναι τὸ γέ-
νος ἐν ἡγεμονίᾳ· τούτοις ἐπει-
σέδραμεν αὐρηλιανὸς· ὥσπερ
ἀποδιδράσκων τοὺς ἄργοντας
αὐτοῦ, παρὰ τῷ μίνωι· πολλαὶ
γὰρ αὐτοῦ συνίσταντο δίκαι τῶν-
ἀδίκων φόνων· καὶ ἔφευγε τὰς-
γραφὰς· κακῶς ἀπολογούμε-
νος· ἥλιος δὲ ὁ ἐμὸς δεσπότης-

αὐτῷ, πρός τε τὰ ἄλλα βοηθῶν·
οὐχ ἥκιστα δὲ καὶ πρὸς τοῦτο αὐ-
τὸ συνήρατο· φάσας ἐν τοῖς
θεοῖς· ἀλλ᾿ ὅτε τίς τὴν δίκην
ἠλέληθεν ἢ δὴ θύσας Δελφοῖς μαν-
τάα· αἴ κε πάθη τὰ κ᾿ ἔρεξε· δίκη
δ᾿ ἰθεῖα ἐγίνετο:-
Τούτῳ συνέρχεται Πρόβος· ἑβδο-
μήκοντα πόλεις ἀναστήσας ἐν οὐδὲ
ὅλοις ἐνιαυτοῖς ἑπτά· καὶ πολλὰ
πάνυ σωφρόνως οἰκονομήσας·
ἄδικα δὲ πεπονθὼς ὑπὸ τῶν
ἀθέων ἐτιμᾶτο τά τε ἄλλα· καὶ
τὸ τοὺς φονέας αὐτοῦ τὴν δίκην
ἐκτῖσαι· σκώπτειν δὲ ὅμως αὐ-
τὸν ὁ Σειληνὸς ἐπειρᾶτο· καί-
τοι πολλῶν αὐτὸν σιωπᾶν
παρακελευομένων ἀλλ᾿ ἔα με
ἔφη νῦν γοῦν δι᾿ αὐτοὺς τοὺς ἑξῆς
φρενωθῆναι· οὐκ οἶσθα ὦ Πρό-
βε ὅτι τὰ πικρὰ φάρμακα μι-
γνύντες οἱ ἰατροὶ τῷ μελικρά-
τῳ προσφέρουσι· σὺ δὲ αὐστη-
ρὸς ἦσθα λίαν καὶ τραχὺς ἀεὶ·
εἴκων τε οὐδαμοῦ· πέπον-
θας ἄδικα μέν, εἰκότα δὲ ὅμως·
οὐ γάρ ἐστιν οὔτε ἵππων οὔτε βο-
ῶν ἄρχειν· οὔτε ἡμιόνων· ἥκι-

γα δὲ ἀνθρώπων μή τι καὶ τῶν κεχαρισμένων αὐτοῖς συγχωροῦντα· ὥσπερ ὅσοι τε τοῖς ἀσθενοῦσιν οἱ ἰατροὶ μικρὸν ἐνδιδόασιν· ἵν' ἐν τοῖς μείζοσιν ἔχωσιν αὐτοὺς πειθομένους· τί τοῦτο ἔφη ὁ διόνυσος ὦ παππίδιον· φιλόσοφος ἡμῖν ἀνεφάνης, οὐ γὰρ ὦ παῖ ἔφη καὶ σὺ φιλόσοφος ὑπ' ἐμοῦ γέγονας, οὐκ οἶδας ὅτι καὶ ὁ σωκράτης ἐοικὼς ἐμοὶ τὰ πρωτεῖα κατὰ τὴν φιλοσοφίαν ἀπηνέγκατο τῶν καθ' ἑαυτὸν ἀνθρώπων. εἴ τι τῷ ἀδελφῷ πείθεσθ' ὅτι ἐστὶν ἀληθινός, ἐᾶτοίνυν ἡμᾶς μὴ πάντα γελοῖα λέγειν ἀλλὰ καὶ σπουδαῖα· ἔτι διαλεγομένων αὐτῶν πρὸς ἀλλήλους, ὅ τε κάρος ἅμα τοῖς παισὶν ἀφρῆσαι βουληθεὶς εἰς τὸ συμπόσιον, ἀπηλήλατο παρὰ τῆς δίκης:

Καὶ ὁ διοκλητιανὸς ἄγων μεθ' ἑαυτοῦ μαξιμιανούς τε τὼ δύω καὶ τὸν ἐμὸν πάππον κωνστάντιον, ἐν κόσμῳ προῄει· εἴχοντο δὲ ἀλλήλων τῶν χειρῶν· καὶ ἐβάδιζον οὐκ ἐξ ἴσου· ἀλλ' οἷον χορὸς

τις τῶν περὶ αὐτόν. τῶν μέν, ὥσπερ
δορυφορούντων καὶ προθεῖν αὐ-
τοῦ βουλομένων· τοῦ δέ, εἴργον-
τος· οὐδὲν γὰρ ἠξίου πλεονεκτεῖν·
ὡς δὲ ξυνιείη· κάμνοντος ἑαυτοῦ·
δοιὼ αὐτοῖς ἅπαντα ὅσα ἔφε-
ρεν ἐπὶ τῶν ὤμων, αὐτὸς ὀλΰ-
τος ἐβάδιζεν· ἠγάσθησαν οἱ θεοὶ
τῶν ἀνδρῶν τῆς ὁμονοίας· καὶ ἐπέ-
τρεψαν αὐτοῖς πρὸ πολλῶν πά-
νυ καθῆσαι. Δάμων δὲ ὄντα τὸν
μαξίμιανων ἀκόλαστον, ὁ σαληνὸς,
ἐπισκοπεῖν μὲν οὐκ ἠξίου· τὸ-
δὲ τῶν βασιλέων, οὐκ ἀσεδέχετο
συσσίτιον· οὐ γὰρ μόνον ταάς ἀ-
φοδίτην ἦν παντοίαν ἀσελγὴς·
ἀλλὰ καὶ φιλοπράγμων καὶ ἄπι-
στος· καὶ οὕτως ἅπαντα τῶν τετρα-
χόρδων συνῳδῶν· ἐξήλασεν ὁ θεὸς
αὐτὸν ἠδίκη ταχέως· εἶτα ἀ-
πῆλθεν οὐκ οἶδα ὁ ποιητής· ἐ-
πελαθόμην γὰρ αὐτὸ παρὰ τοῦ
ἑρμοῦ πολὺ πραγμονῆσαι·
τοῦτο δή·

Τῶν παναρμονίων τετραχόρδων πα-
ραφέρεται Δάμων καὶ τραχὺ καὶ
ταραχῶδες σύστημα· τὰς μὲν
οὖν δίς· οὐδὲ τῶν προθύρων

ἄγεσθαι, τῆς τῶν ἡρώων ἀγορᾶς
ἤδη Νίκη ξυνεχώρησε· Λικίνιον δὲ
μέχρι τῶν προθύρων ἐλθόντα
πολλὰ καὶ ἄτοπα πλημμε-
λοῦντα, ταχέως ἀτίμως ἐξή-
λασεν· ὁ Κωνσταντῖνος δὲ παρῆλ-
θεν εἴσω· καὶ πολὺν ἐκαθέσθη
χρόνον· εἶτα μετ' αὐτὸν τὰ παι-
διά· Μαγνεντίῳ γὰρ οὐκ ἦν ἄσο-
δος ὅτι μηθὲν ὑγιὲς ἐπεπρά-
γει· καίτοι πολλὰ ἐδόκει πεπρά-
χθαι τῷ ἀνδρὶ καλά· οἱ θεοὶ δὲ
ὁρῶντες ὅτι μὴ ταῦτα ἐκ καλῆς
αὐτῷ πεποίηται διαθέσεως εἴ-
ων αὐτὸν οἰμώζειν ἀποτρέχον-
τα· οὔσης δὲ τοιαύτης τῆς ἀμ-
φὶ τὸν δεῖπνον παρασκευῆς,
ἐπόθουν μὲν οὐδὲν οἱ θεοί· πάν-
τα γὰρ ἔχουσιν· αὐτῶν δὲ τῶν ἡ-
ρώων ἐδόκει τῷ Ἑρμῇ διαπει-
ρᾶσθαι· καὶ τῷ Διῒ τοῦτο· οὐκ ἀ-
πογνώμων ἦν· ἐδεῖτο δὴ καὶ ὁ
Κυρῖνος ἤδη τινὰ μετάγειν ἐκεῖ-
θεν παρ' ἑαυτόν· Ἡρακλῆς δὲ οὐ
κανέξομαι εἴπερ ὦ Κυρῖνε· διὰ
τί γὰρ οὐχὶ καὶ τὸν ἐμὸν Ἀλέξαν-
δρον, ἐπὶ τὸ δεῖπνον παρεκάλεσ·

οὗτοι μὲν γὰρ περὶ θεῶν· δέομαι ἔτι-
μα τούτων ἐρωτήσας ἀλλ' ἂν πρὸς-
ἡμᾶς; ἢ κἄν.

Τὸν ἀλέξανδρον κάλει· τί γὰρ οὐ-
χὶ κοινὴν τῶν ἀνδρῶν ἀποπα-
ρασμένη, τῷ βελτίονι τιθέμεθα·
δίκαια λέγειν ὁ τῆς ἀλκμήνης-
ἐδόκει τῷ διΐ· καὶ ἐπεισελθόντες
αὐτοῦ τοῖς ἥρωσιν, οὔτε ὁ καῖσαρ
οὔτε ἄλλος τις ἐπανίστατο· κα-
ταλαβὼν δὲ σχολάζουσαν καθέ-
δραν, ἣν ὁ τοῦ σεβήρου παῖς ἐπε-
ποίητο ἑαυτῷ, Γέτας γὰρ ἀ-
πελήλατο διὰ τὴν ἀδελφοκτο-
νίαν, ἐκάθισε· καὶ ὁ σιληνὸς ἐ-
πισκώπτων τὸν κυρῖνον, ὅ-
ρα εἶπε, μή ποτε οὗτοι ἑνὸς
ὦσιν οὐκ ἀντάξιοι τουτουῒ τοῦ-
γραικοῦ. μὰ δί' εἶπεν ὁ κυρῖνος·
οἶμαι πολλοὺς εἶναι μὴ χάρομας·
οὕτω δὲ αὐτὸν οἱ ἐμοί τε ταυμά-
καν ἔκγονοι, ὥστε μόνον αὐτὸν
ἐκ πάντων ὅσοι ξένοι γεγόνασιν
ἡγεμόνες, ὀνομάζουσι καὶ νομί-
ζουσιν μέγαν· οὐ μὴν ἔτι καὶ-
τῶν παρ' ἑαυτοῖς γενομένων οἴον-
ται μείζονα τουτονὶ ἴσως μὲν-

ὑπὸ φιλαυτίας παθόντες· ἴσως
δὲ καὶ οὗτος ἔχοντες· εἰσόμε-
θα δὲ αὐτίκα μάλα τῶν ἀνδρῶν
ἀποπειρώμενοι· ταῦτα μάλι-
στα λέγων ὁ Κυρῖνος, ἠρυθρία·
καὶ δῆλος ἦν ἀγωνιῶν ὑπὲρ τῶν
ἀπογόνων τῶν ἑαυτοῦ, μή που
τὰ δευτερεῖα λαβόντες οἴχωνται
μετά·

Τοῦτο δ' ὁ Ζεὺς ἤρετο τοὺς θεούς· πό-
τερον χρὴ πάντας ἐπὶ τὸν ἀγῶ-
να καλεῖν· ἢ καθάπερ ἐν τοῖς γυ-
μνικοῖς ἀγῶσι γίνεται· ὁ τοὺς πο-
λλὰς ἀνελόμενος νίκας κρατή-
σας ἑνὸς περιγινόμενος· οὐ-
δὲν ἔλαττον δοκεῖ κατακράτος γενο-
μέναι κρεῖσσον· οἳ προσεπάλε-
σαν μὲν οὐδαμῶς αὐτῷ, τοῦ
κρατηθέντος δὲ ἥττους ἐγένον-
το· καὶ ἐδόκει πᾶσιν ἡ τοιαύ-
τη σφόδρα ἐμμελῶς ἔχειν ἐξέ-
τασις· ἐκήρυττεν οὖν ὁ Ἑρμῆς
παριέναι Καίσαρα· καὶ τὸν Ὀκ-
ταβιανὸν ἐπὶ τούτῳ· Τραϊανὸν
δὲ ἐκ τρίτου· ὡς πολεμικωτέ-
ρους· εἶτα γενομένης σιωπῆς·
ὁ βασιλεὺς Κρόνος βλέψας εἰς
τὸν Δία· θαυμάζειν, ἔφη, πῶς

λεμικοὺς μὲν αὐτοκράτορας ὁρῶν
ἐπὶ τὸν ἀγῶνα τουτονὶ καλουμέ-
νους· οὐδένα μὲν τοι φιλόσοφον·
ἐμοὶ δὲ ἅπερ οὐχ ἧττόν εἰσιν οἱ τοι-
οῦτοι φίλοι· καλεῖτε οὖν εἴσω καὶ
τὸν μάρκον :-
Ἐπεὶ δὲ καὶ ὁ μάρκος κληθεὶς παρῆλ-
θε σεμνὸς· καὶ τὸ πρόσωπον, ὑ-
πό τι συνεσταλμένον· κάλλος δὲ ἀ-
μήχανον ἐν αὐτῷ τούτῳ δ' ἀκμύσων
ἐνῶν παρεῖχεν αὐτὸν ἄκομψον· καὶ
ἀκαλλώπιστον· ἥ τε γὰρ ὑπήνη βα-
θεῖα παντάπασιν ἦν αὐτῷ· καὶ τὰ
ἱμάτια λιτὰ καὶ σώφρονα· καὶ
ὑπὸ τῆς ἐνδείας τῶν τροφῶν
ἦν αὐτῷ τὸ σῶμα διαυγέστερον, καὶ
διαφανέστατον· ὥσπερ αὐτὸ οἶ-
μαι τὸ καθαρώτατον καὶ εἰλικρι-
νέστατον φῶς, ἐπεὶ καὶ οὗτος ἦν
εἴσω τῶν ἱερῶν περιβόλων,
ὁ διόνυσος ἔφη· ὦ βασιλεῦ κρό-
νε καὶ ζεῦ πάτερ· ἆρα ἄξιον ἐν θεοῖς
ἀτελὲς εἶναί τι, τῶν δὲ οὐ φαμέ-
νων· εἰσάγωμεν οὖν τινα καὶ ἀ-
πολαύσεως ἐραστὴν ἐνθάδε· καὶ
ὁ ζεύς· ἀλλ' οὐ θέμις τὸν εἴσω φοι-
τᾶν ἅπερ ἀνδρὶ μὴ τὰ ἡμέτε-
ρα ζηλοῦντι· γινέσθω τοίνυν ἐ-

πὶ τῶν προθύρων ἢ περὶ διορισμοῦ
αὐτοῖς ἡ κρίσις· ἀλλ᾽ εἰ τοῦτο δοκεῖ,
καλῶμεν ἄνδρα οὐ κατὰ πόλεμον μέν,
ἡδονῇ δὲ καὶ ἀπολαύσει χαροκθέ-
στερον· ἥκετο οὖν ἄχρι τῶν προθύ-
ρων ὁ Κωνσταντῖνος· ἐπεὶ δὲ ἐδέ-
δοκτο καὶ τοῦτο, τίνα χρὴ τρόπον
αὐτοῖς ἁμιλλᾶσθαι, γνώμη προυτέ-
θη· καὶ ὁ μὲν Ἑρμῆς, ἠξίου λέγειν ἕ-
καστον ἐν μέρει περὶ τῶν ἑαυτοῦ-
τίθεσθαι δὲ τοὺς θεοὺς τὴν ψῆφον.
οὐ μὴν ἐδόκει ταῦτα τῷ Ἀπόλλω-
νι καλῶς ἔχειν· ἀληθείας γὰρ εἶ-
ναι καὶ οὐ πιθανότητος· οὐδ᾽ αἱ-
μυλίας ἐν θεοῖς ἔλεγχον καὶ ἐξέ-
τασιν· βουλόμενος δὲ ὁ Ζεὺς ἀμ-
φοτέροις χαρίζεσθαι καὶ ἅμα προ-
άγειν ἐπὶ πλέον αὐτοῖς τὴν συνου-
σίαν, οὐθὲν ἄν, ἔφη, κωλύει λέγειν τε
αὐτοῖς ἐπιτρέψαι μικρὰ τοῦ ὕ-
δατος ἐπιμετρήσαντας· εἶτα
ὕστερον ἀνερωτᾶν καὶ ἀποπειρᾶ-
σθαι τῆς ἑκάστου διανοίας· καὶ
ὁ Σιληνὸς ἐπισκώπτων· ἀλλ᾽ ὅ-
πως:

Μὴ νομήσαντες αὐτὸν ἔκταρ εἶναι·
Τραϊανός τε καὶ Ἀλέξανδρος, ἅ-
παν ἐκροφήσουσι τὸ ὕδωρ· εἶτα

ἀφέλωνται τοῖς ἄλλοις· καὶ ὁ πο-
σειδῶν, οὐ τοῦ μοῦ ὕδατος ἄπειν
ἀλλὰ τοῦ ἡμετέρου σώματος ἐ-
ρασταὶ τὼ ἄνδρε ἐπεμέσθον· ὑπὲρ-
τῶν σε αὐτοῦ τοιγὰρ οἴω ἀμπέλων
μᾶλλον ἢ τῶν ἐμοῶν κρηνῶν ἄξι-
ον ἐστὶ σοι δεδιέναι· καὶ ὁ σάληνος
ληχθείς, ἐσιώπα· καὶ τοῖς ἀ-
γορίζομένης ἐκ τούτου τὸν νεῶν
προσῆκεν· ἑρμῆς δὲ ἐκήρυττεν· ἄρ-
χάμεν ἀγορμῶν τῶν καλλίστων ἄ-
θλων ταμίας· καιρὸς δὲ καλεῖ μη-
κέτι μέλλειν· ἀλλ' ἀκούοντα τὰν ἁ-
μετέραν κήρυκα βοάν, οἱ τὸ πρὶν
βασιλῆες ἔθνεα πολλὰ δουλω-
σάμενοι καὶ πολέμοισι δάϊον ἔγ-
χος θήξαντες ὁμοῦ γνώμης τε
μέγα πινυτὸ φορμαρόσων ἴτε ἀν-
τίπαλον ἴστασθε κρίσιν οἵ τε φρό-
νησιν τέλος ὀλβίστης θέσθε βιοτῆς
οἷσι τ' ἂν τιβιοῖς κακὰ πολλὰ ῥέ-
ξαι· χρηστὰ δὲ φίλοισι, τέρμα βιό-
του μενοινᾶτο· καλοῦ θῆ δίζην ἀ-
πόλαυσιν ἔχειν τέρματα μόχθων·
λαίτας τε καὶ γάμοις· ὁ μηνάσι-
τερπνας μαλακὰς τεφέρειν· ἐσ-
θῆτας ὁμοῦ λίθοκολλῆ τοῖς πε-
ρὶ χεῖρας ἄκρας ψελλίοισι· φαμὴ

μακαριστότατον· νίκη δὲ τέλος
ζημιῶν μελλουσῶν· τοιαῦτα.
Τοῦ Ἑρμοῦ κηρύξαντος, ἐκληροῦντο.
καὶ πως συνέδραμε τῇ τοῦ Καίσαρος
ὁ κλῆρος γαῦρον καὶ σοβαρώτατον.
ἐδέησε δὲ διὰ τοῦτο μικροῦ καὶ φυ-
γεῖν τὴν κρίσιν ὁ Ἀλέξανδρος· ἀλλὰ
παραθαρρύνων αὐτὸν ὁ μέγας Ἡρα-
κλῆς, ἐπέσχε. δεύτερος δὲ ἐπὶ τῷ
λέγειν ἔλαχεν ὁ Ἀλέξανδρος·
ἐπὶ δὲ τῶν ἑξῆς, οἱ κλῆροι τοῖς
ἑκάστου χρόνοις συνέπεσον·
ἤρξατο οὖν ὁ Καῖσαρ ὧδε· ἐμοὶ
μὲν ὦ Ζεῦ καὶ θεοὶ γενέσθαι ἐν τη-
λικαύτῃ πόλει συνέβη, μετὰ το-
σούτους ἄνδρας, ὥστε τὴν μὲν ὅ-
σων οὔπω πώποτε ἄλλη πόλις ἐ-
βασίλευσε βασιλεύειν· τῶν δὲ ἀγα-
πητὸν καὶ τὸ τὰ δεύτερα κομίσασθαι·
τίς γὰρ πόλις ἀπὸ τρισχιλίων ἀν-
δρῶν ἀρξαμένη, ἐν οὐδὲ ὅλοις
ἔτεσιν ἑξακοσίοις ἐπὶ γῆς ἦλ-
θε πέρατα τοῖς ὅπλοις· ποῖα
δὲ ἔθνη τοσούτους ἄνδρας ἀγα-
θούς τε καὶ πολεμικοὺς παρέσχε-
το, καὶ νομοθετικούς· θεοὺς δὲ ἐτί-
μησαν οὕτω τιμίους· ἐν δὴ τοσαύτῃ
καὶ τηλικαύτῃ πόλει γενόμενος, οὐ-

τοὺς κατ᾽ ἐμαυτὸν μόνον ἀλλὰ
καὶ τοὺς ἀπό ποτε παρῆλθον τοῖς
ἔργοις· καὶ τῶν ἐμῶν μὲν πολιτῶν,
οὐδ᾽ οἶδα· καὶ οὐθεὶς ἄν τι ποιήσε-
ταί μου τῶν προτέρων· εἰ δὲ Ἀλέ-
ξανδρος οὑτοσὶ τολμᾷ τι μὰ τῶν
ἔργων τῶν ἑαυτοῦ τοῖς ἐμοῖς ἀξι-
οῖ παραβαλεῖν· ἴσως τὰ περσι-
κὰ ὥσπερ οὐκ ἑωρακὼς ἐγὼ περ-
μένα μοι τοσαῦτα κατὰ πομπη-
ΐου τρόπαια· καὶ τοί τις :—
Δεινότερος στρατηγὸς γένομαι· Δαρά-
σος ἢ καὶ πομπήϊος· πότερος δὲ
ἀνδρειότερον ἠκολούθει στρατόπε-
δον· τὰ μὲν οὖν μαχιμώτατα τῶν
Δαρδάνων πρότερον ὑπακουόντων
ἐθνῶν, ἐν τῇ Καρῶν μοίρᾳ πομ-
πήϊος εἶχεν ἑπόμενα· τοὺς
δὲ ἐκ τῆς εὐρώπης ὡς οἱ τὴν ἀσίαν
πόλιν πόλεμον ἐπάγουσαν ἐ-
τρέψαντο καὶ τούτων αὐτῶν τοὺς
ἀνδρειοτάτους ἰταλοὺς· ἰλλυρι-
οὺς· κελτοὺς ἀλλ᾽ ἐπειδὴ τῶν
κελτῶν ὑπεμνήσθην, ἆρα τοῖς
γετικοῖς ἔργοις Ἀλεξάνδρου τὴν
τοῖς κελτικοῖς ἀντὶ τὰ πόλεων
καθαίρεσιν· οὗτος ἐπεραιώθη
τὸν ἴστρον· ἐγὼ δὲ τὸν ῥῆνον

ζ

γερμανικὸν αὐτοῦ τὸ ἐμὸν ἔργον. τοῦ-
το δὲ ἂν τέχνη
Μὲν οὐδὲ εἷς. ἐγὼ δὲ πρὸς ἀριόβισ-
τον ἠγωνισάμην. πρῶτος ἐτόλ-
μησα ῥωμαίους ἐπιβῆναι τῆς
ἐκτὸς θαλάσσης. καὶ τοῦτο ἦν
ἴσως τὸ ἔργον θαυμαστὸν καί τοι-
την τόλμαν καὶ ταύτην ἄξιον
θαυμάσαι. ἀλλὰ τὸ μεῖζον μου
τὸ ἀποβῆναι τῆς νεὼς πρῶτον
καὶ τοὺς ἑλβετίους σιωπῶ. καὶ
τὸ τῶν ἑβραίων ἔθνος οὐδενός
ἔτι τῶν γαλατικῶν, ἐπεμνή-
σθην πόλεων ἢ τριακοσίας ὑπαγό-
μενος ὅπλοις. ἀνδρῶν δὲ οὐκ ἐλά-
ττους, ἢ διακοσίας μυριάδας.
ὄντων δὲ τούτων μοι τοιούτων
ἔργων, ἐκεῖνο μεῖζον ἦν καὶ τολ-
μηρότερον· ἐχρῆν γάρ με καὶ πρὸς
αὐτοὺς διαγωνίζεσθαι τοὺς πο-
λίτας, καὶ κρατεῖν τῶν ἀμάχων
καὶ ἀνικήτων ῥωμαίων. εἴ γε
Ὡς πλήθη τις κρίνει, τρὶς το-
σαυτάκις παρεταξάμην ὁσά-
κις ὑπὲρ ἀλεξάνδρου κομπά-
ζουσιν οἱ τὰ περὶ αὐτοῦ σεμνο-
ποιοῦντες. εἴ γε πλήθη πόλε-
ων αἰχμαλώτων, οὐ τῆς ἀσίας

νόμον· ἀλλὰ καὶ τῆς εὐρώπης
τὰ πλεῖστα κατεστρεψάμην. ἀ-
λέξανδρος αἴγυπτον παρῆλθε
θεωρῶν· ἐγὼ δὲ, συμποσία συγ-
κροτῶν κατεπολέμησα. τὴν δὲ
μετὰ τὸ κρατῆσαι πρᾳότητα
βούλεσθε ἐξετάσαι τὴν παρ' ἑ-
κατέρων· ἐγὼ καὶ τοῖς πολεμί-
οις συνέγνων· ἔπαθον γοῦν ὑ-
π' αὐτῶν ὅσα ἐμέλλησε τῇ δίκῃ·
ὁ δὲ πρὸς τοῖς πολεμίοις οὐ-
δὲ τῶν φίλων ἀπέσχετο:
Ὅτι οὖν μοι περὶ τῶν πρωτείων
ἀμφισβητεῖν οἷός τε ἔσῃ, καὶ οὐ-
καὶ τόθεν καὶ οὐ παραχωρήσεις
μετὰ τῶν ἄλλων· ἀλλὰ ἀναι-
καζας μελέταν ὅπως μὲν ἐχρή-
σω πικρῶς θηβαίοις, ἐγὼ δὲ τοῖς
ἑλβετίοις φιλανθρώπως· σὺ μὲν γὰρ
ἐκείνων κατέκαυσας τὰς πόλεις·
ἐγὼ δὲ τὰς ὑπὸ τῶν οἰκείων πο-
λιτῶν κεκαυμένας πόλεις ἀνέστη-
σα· καίτοι τί τοσούτων ἦν μορί-
ων γραικῶν κρατῆσαι καὶ πεντε-
καίδεκα μυριάδας ἐπιφερο-
μένας ὑποστῆναι· πολλὰ δ' ἂν
ἔχων ἔτι περὶ ἐμαυτοῦ καὶ τοῦ-
δε, τὸ μὴ σχολὴν ἄγειν, ἥκιστα

τὸ λέγειν ἐξεμελέτησα· διόπερ
χρὴ οὐ προοιμίων ὑμᾶς ἔχειν· ἐκ
δὲ τῶν εἰρημένων καὶ περὶ τῶν
μὴ ῥηθέντων, τὴν ἴσην καὶ δικαί-
αν ἐξέτασιν ποιουμένοις, ἀπο-
διδόναι μοι τῶν πρωτεῖον· τοι-
αῦτα εἰπόντος τοῦ:

Καίσαρος· καὶ λέγειν ἔτι βουλομέ-
νου, μόγις καὶ πρότερον ὁ Ἀλέ-
ξανδρος καρτερῶν, οὐκέτι κατέσ-
χεν· ἀλλὰ μετά τινος ταραχῆς
καὶ ἀγωνίας, ἐγὼ δὲ εἶπεν ὦ Ζεῦ
καὶ θεοί, μέχρι τίνος ἀνέξομαι
σιωπῇ τῆς θρασύτητος τού-
του· πέρας γὰρ οὐδὲν ἐστὶν ὡς
ὁρᾶτε· οὔτε τῶν εἰς αὐτὸν ἐ-
παίνων, οὔτε τῶν εἰς ἐμὲ βλασ-
φημιῶν· ἐχρῆν δὲ ἴσως μάλιστα
μὲν ἀμφοῖν φείδεσθαι· καὶ γὰρ
εἶναι πως ἀμφότερα δοκεῖ πα-
ραπλησίως ἐπαχθῆ· πλέον
δὲ τὸ τὰ ἐμὰ διασύρειν ἄλλως τε
καὶ μιμητὴν αὐτὸν γενόμενον·
ὁ δὲ εἰς τοῦτο ἦλθεν ἀναισχυν-
τίας ὥστε τολμῆσαι τὰ ἀρχέ-
τυπα κωμῳδεῖν τῶν αὑτοῦ
ἔργων. ἐχρῆν δὲ ὦ Καῖσαρ ὑπο-
μνησθῆναί σε τῶν δακρύων ἐ-

κάμνων· ὧν τότε ἀφῖκας, ἀκροώ-
μενος τῶν ὑπομνημάτων ὅσα
πεποίηται περὶ τῶν ἐμῶν πρά-
ξεων· ἀλλ' ὁ Πομπήιος ἔπρε-
πε μετὰ τοῦτο· κολακευθεὶς μὲν
παρὰ τῶν πολιτῶν τῶν ἑαυτοῦ
γενόμενος δὲ οὐθεὶς οὐδαμοῦ· τὸ
μὲν γὰρ ἀπὸ Λιβύης θριαμβεῦσαι,
οὐ μέγα ἔργον· ὀνομαστότατον ἐποί-
ησεν ἡ τῶν τότε ὑπάτων μαλακία·
τὸν δουλικὸν δὲ ἐκεῖνον πόλεμον
οὐδὲ πρὸς ἄνδρας γενόμενον,
ἀλλὰ πρὸς τοὺς χειρίστους τῶν
οἰκετῶν, ἄλλοι μὲν κατειργάσαν-
το, Κράσσοι καὶ Λούκιοι· τοὔνομα
δὲ καὶ τὴν ἐπιγραφὴν ἔσχε Πομ-
πήιος· Ἀρμενίαν δὲ καὶ τὰ πρό-
σοικα ταύτης κατεπολέμησε Λεύ-
κολλος· ἐθριάμβευσε δὲ ἀπὸ τού-
των Πομπήιος· εἶτα ἐκολάκευ-
σαν αὐτὸν οἱ πολῖται, καὶ μέγαν
ὠνόμασαν· ὄντα τίνος τῶν
πρὸ ἑαυτοῦ μείζονα· τί γὰρ ἐκεί-
νῳ τοσοῦτον ἐπράχθη, ἡλίκον
Μαρίῳ ἢ Σκιπίωσι τοῖς δυσὶν·
ἢ τῷ παρὰ τὸν Κυρῖνον τουτονὶ
Φουρίῳ· ὃς μικροῦ συμπεσοῦ-
σαν τὴν τούτου πόλιν ἀνέστησεν·

οὗτοι γὰρ οὐκ ἀλλοτρίοις ἔργοις ὥσ-
περ ἐν πολιτικαῖς οἰκοδομίαις καὶ
δαπανήμασιν ὑπ' ἄλλων καταβλη-
θείσαις ἕτερος ἀρχὰν ἐπιγραφῇ μι-
κρὰ κομίσασας τὸν τοῖχον· οὗτος ταῖς
ἀλλοτρίαις ἐπιγράφησαν πράξε-
σιν· ἀρχιτέκτονες δὲ αὐτοὶ
Καὶ δημιουργοὶ γενόμενοι, τῶν καλ-
λίστων ἠξιώθησαν ὀνομάτων· οὐ-
δὲν οὖν θαυμαστὸν εἰ κεκράτηκας
Πομπηΐου δακτύλῳ κινουμένου·
καὶ τἄλλα ἀλώπεκος μᾶλλον
ἢ λέοντος· ἐπειδὴ γὰρ αὐτὸν ἡ τύ-
χη προὔδωκεν ἣ τὸν ἔμπροσθεν
αὐτοῦ χρόνον παρηστάκη, ταχέως
ἐκράτησας μόνου· καὶ ὅτι δ' ἀμό-
τητι μὲν οὐδεμιᾷ κράτιστον ἐπέρου,
φανερόν· καὶ γὰρ ἐν ἐνδείᾳ γενόμενος
τῶν ἐπιτηδείων· ἐπεὶ δέ, οὐ μικρὸν
ὡς οἶσθα τοῦτο ἁμάρτημα στρατη-
γοῦ· καὶ μάχῃ συμβαλών, ἡττήθης
εἰ δὲ Πομπήϊος ὑπ' ἀφοσιώσεώς πο-
τε καὶ ἀγνοίας, ἢ τοῦ μὴ δύνασθαι
τῶν πολιτῶν ἄρχειν· οὐδὲ νικᾶ
ἐκ διατρίβειν τὸν πόλεμον ὑπερετί-
θετο τὴν μάχην· οὐ περὶ κῶν ἐπε-
ζῆ ὑπὸ τοῖς οἰκείοις ἁμαρτήμασι
καὶ οὐχ ὑπὸ τοῖς σοῖς ἐσφάλη πρά-

τη γη μάσι· πέρσαι δὲ πανταχοῦ
καλῶς καὶ φοβίμως παρεσκευασ-
μένη, πρὸς τὴν ἡμετέραν ἀλκὴν
ἐνέδοσαν· ἐγὼ δὲ οὐ τοῦτο παντάπαν
ἁπλῶς· ἀλλὰ καὶ τοῦτο δίκαια
παντάπαν ἄνδρα ἄριστον καὶ βασι-
λέα προσήκει μεταποιεῖσθαι, ἔπο-
μεν ὑπὲρ τῶν ἑλλήνων τοὺς πέρ-
σας ἀπητήκσα δίκην· καὶ τοὺς
ἑλληνικοὺς πολεμίους ἐπαμυνό-
μην· οὐχὶ τὴν ἑλλάδα λῦσαι
βουλόμενος· ἀλλὰ τοὺς κωλύον-
τας μεδιαβαίνειν· καὶ δίκας ἀ-
παιτῶν τὸν πέρσην ἐπίσκο-
πων· οὐδὲ τοὺς γερμανοὺς
αἱ γαλάτας κατεπολέμησα ἐ-
πὶ τὴν πατρίδα τὴν ἑαυτοῦ πα-
ρασκευαζομένους· οὔ τι γε μοι τὰν
χάρον ἢ μιαρώτερον· ἐγὼ δὲ ὥσ-
περ διασύρων τῶν μυρίων ἐμνη-
μόνευσας γραικῶν, ὅτι μὲν καὶ
ὑμᾶς ἐν τοῦθεν πεπόνατε· καὶ τὰ
πολλὰ τῆς ἰταλίας ᾤκησαν
οἱ γραικοὶ· καὶ περ ἀδόξως ὅμως
οὐ παραδέχομαι· τούτων δὲ αὐ-
τῶν ὀλίγον ἔθνος αἰτωλοὺς λέ-
γω τοὺς παροικοῦντας ὑμῖν· οἷς
φίλοις ἔχων καὶ συμμάχοις ἐ-

ποιήσασθε περὶ πολλοῦ· πολε-
μηθέντας δὲ ὑμῖν ὕστερον διὰ
δή ποτε αἰτίας οὐκ ἀκινδύνοις
ὑπακούειν ὑμῖν ἠναγκάσατε· οἱ δὲ
πρὸς τὸ γῆρας ὡς ἂν εἰ ποιτιὸς τῆς
ἑλλάδος καὶ οὐδὲ πάσης· ἀλλὰ
ἔθνεος μικροῦ ἰωικὰ ἤκμαζε τὸ ἑ-
λλωτικόν· οὐδ᾽ ὅτι ἐστὶ γινωσκόμε-
νον· μικροῦ δ᾽ ἐσφάμαι μοτίοις ἀρ-
κέσαντες, τίμεος ἂν ἐτέμεσθε καὶ
πρὸς ἀκμάζοντας καὶ ὁμονοοῦν-
τας τοὺς ἕλληνας, πρὸ πολλοῦ ταν
ὑμᾶς ἐδέησεν· ἔπειτα καὶ Πύρρου
διαβάντος πρὸς ὑμᾶς· ἴστε ὅ-
πως ἐπτήξατε·

Εἰ δὲ τὸ πέρας ὧν κρατήσειν μικρὸν
νομίζεις, καὶ τὸ τηλικοῦτον ἔργον
διὰ σοῦ ῥᾷστον ὁ λίτης παρ᾽ ὑ τῆς
ὑπὲρ τὸν ἀτιρητα ποταμὸν ὑ-
πὸ παρθυαίων βασιλευομένης
χώρας τι ἔτι πολλοῦ ἢ τριακόσια
πολεμουμένοις λέγε μοι δὲ ἣν αἰ-
τίαν οὐ κρατήσετε· βούλομαι
φράσαι, πάντων προσώπων ὑμᾶς ἄρξε-
σθαι βέλη· φρασθήτω δέ σοι περὶ αὐτῶν
ἂν τῶν ἴσως ὑπαιδοτριβηθᾶς
ἐπὶ κρατηρίας πάρασου· ἐγὼ
δὲ ἐμοῦ οὐδὲ ὁ λόγοις ἐνιαυτοῖς δέκα

πρὸς τούτοις καὶ ἰνδῶν γέγονα κύ-
ριος· εἶτα μοι τολμᾷς ἀμφισβη-
τεῖν ὃς ἐκ παιδαρίου στρατηγῶν
ἔργα ἔπραξα τηλικαῦτα· ὡς τέω-
μνήμην καὶ περὶ οὐκ ἀξίως ὑπὸ-
τῶν συγγραφέων ὑμνηθέντων·
ὅμως δὲ συμπαραμένειν τῷ βίῳ
καθάπερ τὸν τοῦ καλλινίκου τού-
του βασιλέως· οὗ θεράπων ἐ-
γὼ καὶ ζηλωτὴς ἐγενόμην· ἀχι-
λλέα μὲν ἀμιλλώμενος τῷ προγό-
νῳ· ἡρακλέα δὲ θαυμάζων καὶ ἑ-
πόμενος ἅπερ δὴ κατ' ἴχνος θεοῦ-
ἀνδρός· ὅσα μὲν οὖν ἐχρῆν ὦ θεοὶ
πρὸς τοῦτον ἀπολογήσασθαι
καὶ τοι κράτιστον ἦν ὑπὲρ ἰδίων αὐ-
τοῦ εἴρηται· εἰ δέ τι μικρὸν ὑ-
φ' ἡμῶν ἐπράχθη· οὔτι ζῶσαν
εἰς ἐμὰν τίοις ἀνοίας· ἀλλὰ καὶ
καὶ ἃ πολλάκις ἀπεχθάνεσθαι
καὶ πρὸς κρουσμὸν αἰσθέσθαι μὴν
ἄδικον ποιᾶν κολάζοντος ἐπ' ᾧ δὲ
εἴρηται

^ πάντα

Καὶ τοῦτο στρατιώτης γέρον ὁ λό-
γος· ἐπεὶ τὸν ὀκταβίον τὴν ὑ-
δρίαν ἔφερεν ὁ τοῦ ποσειδῶνος
θεράπων ἐπεὶ μὴ προῆν αὐτῷ τοῦ
ὕδατος ἐλάσσονος διὰ τὸν καιρὸν

ἄλλος δὲ καὶ μνησικακῶν αὐτοῖς τῆς
εἰς τὸν θεὸν ὑπερηφανίας· καὶ ὃς ἐ-
π' ὀλίγον σιωπήσας ὑπ' αἰσχύνης, ἀ-
φεὶς τὸ λέγειν τι περὶ τῶν ἀλλοτρί-
ων· ἐγὼ δὲ ἅπερ ὦ Ζεῦ καὶ θεοί· τοῦ
διασύρειν μὲν τὰ τῶν ἄλλων ἔρ-
γα καὶ μακρὰ παίζειν ἀφέξομαι
περὶ δὲ τῶν ἐμαυτοῦ, τὸν πάντα
ποιήσομαι λόγον· νέος προέστην
τῆς αὐτοῦ πόλεως· ὥσπερ ὁ
γενναῖος οὗτος ἀλέξανδρος· κα-
τορθώσας δὲ γερμανικοὺς πολέ-
μους, ὥσπερ ὁ ἐμὸς πατὴρ οὑτο-
σὶ καῖσαρ· συμπλακεὶς δὲ τοῖς
ἐμφυλίοις ἀγῶσιν, αἴγυπτον μὲν
περὶ ἄκτιον κατεναυμάχησα·
βροῦτον, τὸν δὲ κάσσιον περὶ τοὺς
φιλίππους κατεπολέμησα·
καὶ τὸν πομπηΐου παῖδα σέξ-
τον, πάρεργον ἐθέμην τῆς ἐμαυ-
τοῦ στρατηγίας· οὕτω δὲ παρέσ-
χον ἐμαυτὸν τῇ φιλοσοφίᾳ χει-
ροήθη, ὥστε καὶ τῆς ἀθηνοδώ-
ρου παρρησίας ἠνεσχόμην, οὐ-
κ ἀγανακτῶν, ἀλλ' εὐφραινόμενος
ἐπ' αὐτῇ· καὶ τὸν ἄνδρα καθάπερ
παιδαγωγὸν ἢ πατέρα μᾶλλον αἰ-
δούμενος· ἄρειον δὲ καὶ φίλον

καὶ σύμβιον τὴν ἐπιγράφομαι· καὶ
ὅλως οὐδὲν ἐστὶν ὑφ' ἡμῶν ἐς
τὴν φιλοσοφίαν ἁμαρτηθέν. ὑ-
πὸ δὲ τῶν ἐμφυλίων στάσεων τὴν
ῥώμην ὁρῶν εἰς ἔσχατον ἐλαύ-
νουσαν πολλάκις κινδύνων· οὕ-
τω διεθέμην τὰ περὶ αὐτήν, ὥσ-
τε εἶναι δι' ὑμᾶς ὦ θεοὶ τὸ λοι-
πὸν, ἀδαμαντίνην· οὐ γὰρ ταῖς
ταῖς ἀμετρίοις ἐπιθυμίαις
ἐπικτᾶσθαι πάντως αὐτῇ διε-
νοηθείς· ὅρια δὲ διττὰ ὥσπερ
ὑπὸ τῆς φύσεως ἀποδεδομέ-
να ἴστρον καὶ εὐφράτην ποταμοὺς
ἐθέμην· εἶτα

Υποτάξας τὸ σκυθῶν καὶ θρα-
κῶν ἔθνος ὑπὸ μετρούντων ὑ-
μῶν τῆς βασιλείας μοι τὸν ὅ-
ρον καὶ πόλεμον ἄλλον ἐξ ἄλ-
λου περιεσκόπουν ἀλλὰ νο-
μοθεσίαν καὶ τῶν ἐκ τοῦ πολέ-
μου συμφορῶν ἐπανόρθωσιν,
τὴν σχολὴν διεθέμην· οὐδὲν
νομίζων τῶν πρὸ ἐμαυτοῦ χεῖ-
ρον βεβουλεῦσθαι· μᾶλλον δὲ
εἰ χρὴ θαρρήσαντα φάναι, κρεῖ-
σσον τῶν πώποτε τηλικαῦτα
ἐπιτροπευσάντων· οἱ μὲν γὰρ

ταῖς στρατηγίαις ἐναποθανοῦμ·
ἐξὸν λοιπὸν καὶ μὴ στρατεύεσθαι
πολέμοις ἐκ πολέμων ἑαυτοὺς
ὥσπερ οἱ φιλοπράγμονες τὰς
δίκας μελετῶσι κατασχεδιάζον-
τες· οἱ δὲ καὶ πολεμούμενοι τὴν
τρυφὴν προσῆκον· οὐ μόνον τῆς
μετὰ ταῦτα δίκης τὴν αἰσχρὰν
τρυφὴν τιμωροῦντες, ἀλλὰ καὶ τῆς
σωτηρίας αὐτῆς· ἐγὼ μὲν οὖν ταῦτα
διανοούμενος, οὐκ ἀξιῶ τῆς
χείρονος ἐμαυτὸν μερίδος· ὅτι δ᾽ ἂν
ὑμῖν τοῖς θεοῖς φαίνηται, τοῦτο εἰκὸς
ἐστὶν ἐμὲ δήπουθεν στέργειν· δίδο-
ται μετὰ τοῦτον τῷ
Τραϊανῷ τοῦ λέγειν ἐξουσία· ὁ δὲ καί-
περ δυνάμενος λέγειν ὑπὸ ῥαθυμί-
ας ἐπιτρέπειν γὰρ εἰώθει τὰ πο-
λλὰ τῷ Σούρᾳ γράφειν ὑπὲρ αὐτοῦ
φθεγγόμενος μᾶλλον ἢ λέγων ἐπε-
δείκνυεν αὐτοῖς τό, τε Γετικὸν καὶ
τὸ Παρθικὸν τρόπαιον· ᾐτιᾶτο
δὲ τὸ γῆρας ὡς οὐκ ἐπιτρέψαν
αὐτῷ τοῖς Παρθικοῖς πράγμασιν
ἐπεξελθεῖν· καὶ ὁ Σειληνὸς ἀλλ᾽ ὦ
μάταιε ἔφη· εἴκοσι βεβασίλευ-
κας ἔτη· Ἀλέξανδρος δὲ οὑτοσὶ
δώδεκα· τί οὖν ἀφεὶς αἰτιᾶσθαι

πρὸς ἑαυτοῦ τρυφὴν τὴν τοῦ χρό-
νου μακρῷ ἐφηγεμότητα· παροξυν-
θέντα ὑπὸ τοῦ σώματος· οὐ-
δὲ παρ' αὐτῶν ἔξω τοῦ δύνασθαι ῥή-
τορ' ἀνδρῶν· ὑπὸ δὲ τῆς πολυπο-
σίας ἀμβλύτερος ἑαυτοῦ πο-
λάκις ἦν· ἐγὼ δὲ ἄ[illegible]·
καὶ θεοὶ τὴν ἀρχὴν παραλαβὼν
ἀρκοῦσαν ὥσπερ καὶ διαλελυμέ-
νην ὑπό τε τῆς οἴκοι πολλὴν χρό-
νον ἐπικρατησάσης τυραννίδος
καὶ τῆς τῶν Γετῶν ὕβρεως, μό-
νος ὑπὲρ τὸν Ἴστρον ἐτόλμησα
προσλαβεῖν ἔθνη· καὶ τὸ Γετῶν
ἔθνος ἐξεῖλον· οἳ τῶν πώπο-
τε μαχιμώτατοι γεγόνασιν· οὐ
χεῖρον ἀνδρείας μόνον τοῦ σώ-
ματος· ἀλλὰ καὶ ὧν ἔπεισεν αὐ-
τοὺς ὁ τιμώμενος παρ' αὐτοῖς Ζά-
μολξις· οὐ γὰρ ἀποθνήσκειν· ἀ-
λλὰ μετοικίζεσθαι νομίζοντες·
ἑτοιμότερον αὐτὸ ποιοῦσιν, ἢ τὰς
ἀποδημίας ὑπομένουσιν· ἐπρά-
χθη δέ μοι τὸ ἔργον τοῦτο ἐν ἡμέραις
αὐτοῖς, ἴσως που πέντε· πάν-
των δὲ ὅτι τῶν πρὸ ἐμοῦ γενο-
μένων αὐτοκρατόρων ὤφθην
τοῖς ὑπηκόοις πρᾳότατος·

καὶ οὔτε καῖσαρ οὑτοσὶ περὶ τού-
των ἀμφισβητήσειεν ἄν μοι, οὔ-
τἄλλος οὐδὲ εἷς. δῆλον ἐστί-
που. πρὸς παρθυαίους δέ, πρὶν μὲν ἀ-
δικεῖσθαι παρ᾽ αὐτῶν, οὐκ ᾤμην δεῖν
χρῆσθαι τοῖς ὅπλοις· ἀδικοῦσι δὲ
ἐπεξῆλθον οὐδὲν ὑπὸ τῆς ἡλικίας
κωλυθείς· καίτοι διδόντων μοι-
τῶν νόμων τὸ μὴ στρατεύεσθαι·
τούτων δὴ τοιούτων ὄντων, ἆρ᾽ οὐ-
χὶ τιμᾶσθαι καὶ πρὸ τῶν ἄλλων
εἰμὶ δίκαιος. πρᾶος μὲν πρὸς
τοὺς ὑπηκόους· φοβερὸς δὲ πρὸς
τοὺς πολεμίους, διαφερόντως
γενόμενος, αἰδεσθεὶς δὲ καὶ τὴν ἡ-
μετέραν ἄγαν φιλοσοφίαν. τοι-
αῦτα ὁ τραϊανὸς εἰπών, ἐδόκει
τῇ πρᾳότητι πάντων κρατεῖν
καὶ δῆλοί πως ἦσαν οἱ θεοί, μά-
λιστα ἡσθέντες ἐπὶ τούτῳ· τοῦ μάρ-
κου δὲ ἀρχομένου λέγειν
ὁ σιληνὸς ἠρέμα πρὸς τὸν διόνυ-
σον, ἀκούσωμεν ἔφη τοῦ στωϊκοῦ
τούτου· τί ποτε ἄρα τῶν παρα-
δόξων ἐρεῖ καὶ τεραστίων δογμά-
των. ὁ δὲ ἀποβλέψας πρὸς τὸν
δία καὶ τοὺς θεούς, ἀλλ᾽ ἐμοί γε εἶ-
πεν ὦ ζεῦ καὶ θεοί. λόγων οὐδὲν

δὴ καὶ ἄπορος. εἰ μὲν γὰρ ἠγνοεῖτε τὰ ἐμά, προσῆκον ἦν ἐμοὶ διδάσκειν ὑμᾶς· ἐπεὶ δὲ ἴστε καὶ λέληθεν ὑμᾶς τῶν ἁπάντων οὐθέν, αὐτοί με τιμᾶτε τῆς ἀξίας. ἔδοξε δὴ οὖν ὁ Μάρκος τά τε ἄλλα, θαυμάσιός τις εἶναι καὶ σοφὸς διαφερόντως, ἅτε οἶμαι λέγειν ἐν οἷς πρέπον. ὁ δὲ, πρότερον μὲν ἐθάρρει τὴν ἀγωνίαν· ὡς δὲ ἀποβλέπων εἰς τὰ τῶν ἄλλων ἔργα μικρὰ παντάπασιν εἶδε τὰ αὐτοῦ. διό γὰρ τυράννους εἰ χρὴ τἀληθὲς φάναι, καθῄρηκα· τὸν μὲν ἀπόλεμόν τε καὶ μαλακόν· τὸν δὲ, ἄθλιόν τε καὶ διὰ τὸ γῆρας, ἀμφοτέρους δὲ θεοῖς τε καὶ ἀνθρώποις ἐχθίστω. τά γε μὴν εἰς τοὺς βαρβάρους ἦν αὐτοῦ γελοῖα· φόρους γὰρ ὥσπερ ἐτέλει καὶ πρὸς τὴν Τρυφὴν ἀφεώρα· πόρρω δὲ εἱστήκει τῶν θεῶν αὐτοῦ, περὶ δὲ τὰ πρόθυρα τῆς Σελήνης. ἐρωτικῶς τε εἶχεν αὐτῆς καὶ πρὸς ἐκείνην βλέπων, οὐθὲν ἐμέλησεν αὐτῷ περὶ τῆς νίκης. ἐπεὶ δὲ ἐχρῆν εἰπεῖν καὶ αὐτόν τι, ταύτῃ ἔφη

κράτιστον τούτων πάντων· εἰ μὴ
ὅτι πρὸς ῥωμαίους καὶ τὰ γερμα-
νικὰ καὶ σκυθικὰ γένη· καὶ οὐχὶ
πρὸς τοὺς ἀσιανοὺς βαρβάρους
ἠγωνισάμην· καίσαρος δὲ καὶ ὀ-
κταβιανοῦ, τῷ μὴ καθάπερ οὗτοι
πρὸς καλοὺς κἀγαθοὺς πολίτας
στασιάσαι, τοῖς μιαρωτάτοις δὲ
καὶ πονηροτάτοις τῶν τυρά-
ννων ἐπεξελθεῖν· τραϊανοῦ δὲ,
τοῖς μὲν, κατὰ τῶν τυράννων
ἀνδραγαθήμασιν εἰκότως ἂν
προτιμηθείην· τοῦ δὲ ἣν οὗτος
προσεκτήσατο χώραν ἀναλαβεῖν
ἴσως ἂν οὐκ ἀπεικότως νομίζοι-
μι· εἰ μὴ καὶ μεῖζόν ἐστι τὸ ἀνα-
κτήσασθαι:

Μάρκος δὲ οὑτοσὶ σιωπῶν ὑπὲρ,
αὑτοῦ πᾶσιν ἡμῖν τῶν προστά-
ων ἐξίσταται καὶ ὁ σιληνὸς ἀλλ' ἢ
τοῖς ἀδώνιδος κήποις ὡς ἔρ-
γα ἡμῖν ὧν κορυζᾶν τιμε ἑαυτοῦ
προσφέρεις· τί δὲ εἰσὶν οὓς λέ-
γεις ἀδώνιδος κήπους· αἱ γυναῖ-
κες ἔφη τῷ τῆς ἀφροδίτης ἀν-
δρὶ φυτεύουσιν ὀστρακίοις ἐπα-
μησάμεναι γῆν λαχανιὰν χλοή-
σαντα δὲ ταῦτα πρὸς ὀλίγον,

αὐτίκα ἀπομαραίνεται· καὶ ὁ κων-
σταντῖνος ἠρυθρίασεν· ἀντικρὺς
ἐπιγνοὺς τοιοῦτον τὸ ἑαυτοῦ ἔρ-
γον· ἡσυχίας δὲ γενομένης
Οἱ μὲν, ἐοίκεσαν περιμένειν ὁπο-
θήσονται τὴν ὑπὲρ τῶν πρωτεί-
ων οἱ θεοὶ ψῆφον· οἱ δ᾽ ᾤοντο
δεῖν τὰς προαιρέσεις· εἰς τὸ ἐμ-
φανὲς τῶν ἀνδρῶν προάγειν· καὶ
οὐκ ἐκ τῶν πεπραγμένων αὐτοῖς
ὧν ἡ τύχη μεταποιεῖται τὸ πλεῖ-
στον καὶ παρὰ τῶν αὐτῶν καταβο-
ῶσα παρεστήκει πλὴν ὀκταβι-
ανοῦ μόνου· τοῦτον δὲ εὐγνώμο-
να πρὸς αὐτὴν εἶναι ἔλεγεν· ἔδοξεν οὖν
Τοῖς θεοῖς, ἐπιτρέψαι καὶ τοῦτο τῷ
ἑρμῇ καὶ ἔδοσαν αὐτοῖς πρῶτον ἀ-
λεξάνδρου ἐπυθέσθαι τί νομί-
σειε κάλλιστον· καὶ πρὸς τί βλέπων
ἐργάσαιτο· καὶ πάθοι πάντα
ὅσαπερ δὲ δράκοι τε, καὶ πεπόν-
θοι· ὁ δὲ ἔφη· τὸ πάντα νικᾶν
εἶτα ἦ δ᾽ ὃς ὁ ἑρμᾶς· οἴει σοι τοῦ-
το πεποιῆσθαι, καὶ μάλα ἔφη
ὁ ἀλέξανδρος, ὁ δὲ σειληνὸς τω-
θαστικῶς μάλα γελάσας· ἀλλὰ
ἐκράτουν γέ σου αἱ ἡμέτεραι θυ-
γατέρες· αἰνιττόμενος τὰς ἀμ-

ἀμπέλους·

πὺ λόγος· τὸν ἀλέξανδρον οἷα δὴ
τίνα μεθύσον καὶ φίλοινον σκώ-
πτων· καὶ ὁ ἀλέξανδρος οἷα δὴ
γέμων περὶ πατητικοὺς παρα-
κοισμάτων, οὐ τὰ ἄψυχα ἔφη
νίκαν· οὐδὲ γὰρ ἄγων ἦκειν πρὸς
ταῦτα· ἀλλὰ πᾶν μὲν ἀνθρώ-
πων· πᾶν δὲ θηρίων γένος· καὶ
ὁ σφληνὸς ὥσπερ οἱ θαυμαζόν-
τες ἀρωνικῶς μάλα ἰοὺ ἰοὺ ἔ-
φη τῶν διαλεκτικῶν κικλίδων
πρῶτος δὲ ἡμῖν ἐν τῷ τέρας αὐτὸν
θήσοις γένη τῶν ἀψύχων ἢ τῶν
ἐμψύχων τε καὶ ζώντων· καὶ ὃς
ὥσπερ ἀταρακτήσας, εὐφή-
μει ἔφη· ὑπὸ γὰρ μεγαλοψυχίας
ὅτι δὴ καὶ θεὸς γενοίμην· μᾶλ-
λον δὲ ἀνὴρ ἐπεποσμίω· αὐτὸς
οἷον εἴπερ ἡ πλῆθος σεαυτοῦ πο-
λλάκις ὀργῆς ἢ λύπης· ἢ τὴν
τοιούτων τὸν νοῦν καὶ τὰς φρέ-
νας ἢ πῶς καὶ χάριν ποιήσας·
ἀλλ᾽ αὐτὸν ἑαυτοῦ εἴπερ ὁ ἀλέ-
ξανδρος κρατεῖν καὶ ἡττᾶσθαι
ὁμώνυμος·
Ἐμοὶ δὲ ἰδὼν ὑπὲρ τῶν πρὸς ἀλλογο
ὁ λόγος βαβαὶ τῆς διαλεκτικῆς
εἴπερ ὅπως ἡμῶν τὰ σοφίσματα

διελέγχθης· ἀλλ᾽ ἡνίκα εἴπωσιν ἐν-
ὑμνῳδοῖς ἐτρώθης καὶ ὁ πολυκέστηο
ἕκατο παραστὰς οὐδὲ ἐξήγου
ψυχορραγῶν τῆς πόλεως· ἆρα
ἧττον ᾔσθα τοῦ προσώπου τος ἢ-
καὶ ἐκάμνον ἐνίκας οὐκ ἔκαμνον
ἐφημμένον· ἀλλὰ καὶ τὴν αὐτὴν
ἐξεπόρθησα πόλιν· οὐ σύ γε-
ὥσπερ ὦ μακάριε· σὺ μὲν γὰρ ἐ-
κεῖσο κατὰ τὸν ὁμηρικῶν ἐκ το-
ρα ὀλιγοδρανέων καὶ ψυχορρα-
γῶν· οἱ δὲ ἠγωνίζοντο, καὶ ἐνί-
κων· ἡττουμένων ἡμῶν ὥσπερ
ὁ Ἀλέξανδρος· καὶ ὁ σκληρὸς
πόσος, οἵ γε ἐφέρεσθε μικροῦ νε-
κροὶ εἶτα ἤδη τῶν ἐξ ὀρι·ποι-
δου· ὅμοια καθ᾽ Ἑλλάδα ὡς καλῶς
ρομίζεται· ὅταν τρόπαιον πο-
λεμίων στήσῃ κρατὸς καὶ ὁ Διό-
μεσος παῦσαι ὥσπερ ὦ παιπαι-
διόν, τοιαῦτα λέγων· μηδ᾽ ἐστοῦ-
τος ὁ ποῖα τὸν κατὰ τὸν ἔδρασεν
ἐργάσηται· καὶ ὁ Ἀλέξανδρος
ἐρυθριάσας τε ἅμα· καὶ ὥσ-
περ συγχυθεὶς ὑπὸ τῶν δακρύ-
ων τὰ ὄμματα, ἐσιώπα.

Καὶ ὁ μὲν ὧδε ἔληξεν ὁ λόγος·
ὁ δὲ Ἑρμῆς ἤρετο πάλιν τὸν καὶ-

σαρα· οὐδὲ εἰπόντος τοῦ καίσαρ-
ος ἐπέρετο σκοπὸς τοῦ βίου· τὸ
πρὸ τῶν ἄλλων ἔφη τῆς ἐμαυτοῦ καὶ
μηθενὸς εἶναι ἥττω νομίζεσθαι
δεύτερον· τοῦτο δ᾽ ὥσπερ ὁ ἐρ-
μῆς σαφὲς ἐστίν· ὥσπερ γὰρ εἴ-
τε κατὰ σοφίαν· ἢ τὴν ἐν τοῖς
λόγοις δεινότητα· ἢ πολεμικὴν
ἐμπειρίαν· ἢ πολιτικὴν δύνα-
μιν· τὴν μὲν ἔφη ὁ καῖσαρ ἤδη μοι
τῶν πάντων ἐν πᾶσιν εἶναι
πρῶτον· τοῦτο δὲ οὐ δυνάμενον
ἐπιτυχεῖν, τὸ δύνασθαι μέγιστον
παρὰ τοῖς ἐμαυτοῦ πολίταις
ἐζήλωσα· οὐδὲ ἅπερ ἐδυνή-
θη πρὸς αὐτὸν ὁ σκληρὸς, καὶ
ὅσ᾽ ἃ πάνυ εἶπε ἔφη· κύριος τῶν
αὐτὸν ἐπομένων· ἀλλὰ τοῦτο μὲν
ἅπερ ἐδυνήθης ἀγαπηθῆναι
δὲ ὑπ᾽ αὐτῶν οἷ χρηστός τε εἶπον
καὶ ταῦτα πολλὴν μὲν ὑποκρι-
νάμενος ὥσπερ ἐν δράματι
καὶ σκηνῇ φιλανθρωπίαν· αἰσχρῶς
δὲ αὐτοῖς πάντας κολακεύων
εἶτα οὐκ ἀγαπηθεὶς δοκοῦ-
ἅπερ ὑπὸ τοῦ δήμου τοῦ διώ-
ξαντος, Βροῦτον καὶ κάσσιον·
οὐκ ἔστι δῆλος ἀπεκτάμεν ἔφη

διὰ τοῦτο γὰρ αὐτοῖς ὁ δῆμος
ἐψηφίσατο ἄμαι ὑπάτοις; ἀ-
λλὰ διὰ τὸ ἀργύριον. ἐνταῦθα δὴ τῶν
διαθηκῶν ἀκροασάμενοι, μισ-
θὸν ἐφόρουν τῆς ἀπαρακτήσεως
αὐτοῖς οὗτοι τὸν τυχόντα ἐγ-
γεγραμμένον. λήξαντος δὲ
καὶ τούτου τοῦ λόγου,

Τὸν ὀκταβιανὸν αὖθις ὁ ἑρμῆς
ἐκίνει, σὺ δὲ ἅπερ οὖν κέρδος ἡ-
μῖν τί κάλλιστον ἐνόμιζες εἶ-
ναι; καὶ ὃς βασιλεύσαι ἔφη κα-
λῶς. τί δὲ ἐστὶ τὸ καλῶς ὦ
σεβαστὲ, φράσον. ἐνταῦθα τοῦτο
γε ἐστὶ καὶ τοῖς πονηροτάτοις
λέγειν. ᾤετο οὖν καὶ διονύσι-
ος καλῶς βασιλεύειν καὶ ὁ τού-
του μιαρώτερος ἀγαθοκλῆς.
ἀλλὰ ἴστε ἅπερ ὦ θεοὶ ὡς προ-
πέμπων τὴν θυγατριδοῦν
ηὐξάμην ὑμῖν, τόλμαν μὲν
αὐτῷ δοθῆναι τὴν καίσαρος.
δεινότητα δὲ, τὴν πομπη-
ΐου τύχην δὲ τὴν ἐμήν. πο-
λλὰ ἅπερ ὁ σκληρὸς καὶ θεῶν
ὄντων σωτήρων ἔργα δεόμε-
να συνεφόρησεν οὗτος ὁ κορο-
πλάθος. εἶτα διὰ τί τοῦτο

ἔφη τὸ ὄνομά μοι γελοῖον οὕτως
ἔθου ἢ γὰρ οὐκ ἔπλαττες ἡμῖν ὥσ-
περ ἐκεῖνος ἅπτε τὰς νύμφας,
ὥστε βάπτε θεοὺς ὧν ἕνα καὶ πρὸς τὸν
τουτονὶ καίσαρα· καὶ ὁ μὲν ὀκτα-
βιανὸς, ὥσπερ δυσωπούμενος
ἀπεσιώπησεν·

Ὁ δὲ ἑρμῆς πρὸς τὸν τραϊανὸν
βλέψας· σὺ δὲ εἶπε τί διανο-
ούμενος ἔπραττες· ὅσαπερ
ἔπραξας τῶν αὐτοῦ ἀλεξάνδρου
σωφρονέστερον εἶπεν ὠρέχθην·
καὶ ὁ σκληρὸς· ἡττήθης σὺ εἶ-
που τῶν ἀγεννεστέρων· ὁ μὲν γὰρ
θυμοῦ τὸ πλεῖστον ἥττων ἦν· σὺ
δὲ αἰσχρᾶς ἡδονῆς καὶ ἐπονει-
δίστου. βάλλ᾽ ἐς μακαρίαν ἅπερ
ὁ διόνυσος ἐπισκώπτεις εὐκα-
σαντας αὐτοῖς· καὶ ποιεῖς οὐ-
θὲν ὑπὲρ αὐτῶν λέγειν· ἀλλ᾽ ἐ-
πεὶ κάμνων εἶχες οἷ χώραν τὰ
σκώμματα· πρόσεχε νῦν ὅπως
ἄν τι λήψῃ τοῦ μάρκου· δοκεῖ
γὰρ ἅμα μοι πως ἀνὴρ κατὰ τὸν
σιμωνίδην τετράγωνος ἄνευ
ψόγου τετύχηκεν· καὶ ὁ ἑρμῆς
Βλέψας εἰς τὸν μάρκον, σὺ δὲ ἅ-
περ εὖ βῆρε· τί κάλλιστον ἐδόκει

τοῦ βίου ἆμαι τέλος· καὶ ὃς ἠρέμα
καὶ σωφρόνως, τὸ μιμεῖσθαι ἔ-
φη τοὺς θεούς· ἔδοξε μὲν εὐθέ-
ως ἡ ἀπόκρισις οὐκ ἀπερηκός·
ἀλλὰ καὶ τοῦ παντὸς ἀξία· ἀ-
λλὰ καὶ ὁ ἑρμῆς, οὐκ ἐβούλετο
πολὺ πραγμονεῖν· πεπεισ-
μένος ὅτι πάντα ὁ μάρκος
ἀκολούθως ἐρεῖ· τοῖς μὲν οὖν
ἄλλοις θεοῖς· ἐδόκει ταύτῃ·
μόνος δὲ ὁ σειληνὸς οὐ μὰ τὸν
διόνυσον, ἀνέξομαι τοῦτο τοῦ
σοφιστοῦ· τί δὴ γάρ ποτε ἤσθι-
ες ἄρτους καὶ ἔπινες· οὐχ ὥσπερ
ἡμεῖς ἀμβροσίας τε καὶ νέκταρος,
ἄρτου δὲ καὶ οἴνου· ἀλλ' ἔγωγε ᾧ-
περ οὐχ ᾗπερ ὑμεῖς ὁμοίως τοὺς
θεοὺς μιμεῖσθαι, ταύτῃ προσε-
φερόμην σιτία καὶ ποτά· τὸ
σῶμα δὲ ἔτρεφον ἴσως μὲν ψευ-
δῶς· πειθόμενος δὲ ὅτι καὶ
τὰ ὑμέτερα σώματα, δεῖται
τῆς ἐκ τῶν ἀναθυμιάσεων
ταῦτα τροφῆς· πλὴν οὐ κατὰ ταῦτ' ὑ-
μᾶς ἆμαι μιμεῖσθαι θεούς· ἀλλὰ κα-
τὰ τὴν διάνοιαν ὑπέλαβον·
ὀλίγον ὁ σειληνὸς ὥσπερ ὑπὸ
πύκτου δεξιοῦ πληγείς· εἰ

ρηται μέρος οἱ τοῦτο εἴπερ οὐδε-
νὸς ἐδέου. καὶ ὁ Μάρκος· ἐγὼ
μὲν οὐδενὸς, ἴσως δὲ τὸ σωματί-
ον μου μικρῶν· δόξαντος οὖν
καὶ τοῦτο ὀρθῶς ἀρηκέναι τοῦ
Μάρκου· τέλος ἀπορούμενον
ὁ σκληρὸς
Ἐπιφύεται τοῖς περὶ τὸν παῖ-
δα καὶ τὴν γαμετὴν αὐτοῦ· λο-
κοισὶν οὐκ ὀρθῶς οὐδὲ κατὰ
λόγον ἐπιποιᾶσθαι· τὴν μὲν ὅ-
τι ταῖς ἡρωΐναις ἐνέγραψε· τὸν
δὲ, ὅτι τὴν ἡγεμονίαν ἐπέτρε-
ψεν· ἐμιμησάμην εἴπερ καὶ
κατὰ τοῦτο τοὺς θεούς· ὁ μηρο-
μὲν γὰρ ἐπαθόμενην λέγον τι πε-
ρὶ τῆς γαμετῆς· ὅτι ἄρα ὅτις
ἀγαθὸς καὶ ἐχέφρων τὴν αὐ-
τοῦ φιλεῖ· καὶ κήδεται τοῦ
παιδὸς αὐτοῦ· τοῦ δ᾽ ἴσως ἀ-
πόφασιν ἔχω· αἰτιώμενος γὰρ
τὸν ἀέρα, παλαιὰν ἅπερ ἐ-
βέβλησο· τοῦ κεραυνοῦ εἰ μὴ διὰ
τὸ παῖδας εἶμαι ἠγάπων·
ἄλλως τε καὶ οὐδὲ ὤμην ἔγωγε τὸν
παῖδα πονηρὸν οὕτως ἔσεσθαι
εἰ δὲ ἡ μεότης ἐφεκάτερα με-
γάλας ποιουμένη τὰς ῥοπάς·

ἐπεὶ τὸ χαρὸν ἠλέγχθη, οὐχὶ πονη-
ρὰς τὴν ἡγεμονίαν ἐπέτρεψε· συνε-
χθῆ δὲ τὸν λαβὸν τὰ πονηρὸν γε-
νέσθαι· τά τε οὖν περὶ τὴν γυναῖ-
κα πεποίηταί μοι κατὰ ζῆλον
ἀχιλλέως τοῦ θείου, καὶ τὰ πε-
ρὶ τὸν παῖδα κατὰ μίμησιν
τοῦ μεγίστου διός· ἄλλως τε
καὶ οὐθὲν καινοτομήσαντι·
πᾶσι τε γὰρ νόμιμον ἐπιτρέ-
πειν τὰς διαδοχάς· καὶ τοῦ-
το ἅπαντες εὔχονται· τὴν
τε γαμετὴν οὐκ ἐγὼ πρῶτος ἀ-
λλὰ μετὰ πολλοὺς ἄλλους ἐτί-
μησα· ἴσως δὲ τὸ μὲν ἄρξασθαι
τῶν τοιούτων, ἐστὶν οὐ καλὸν·
τὸ δὲ ἐπὶ πολλῶν γενόμενον τοῖς
οἰκειοτάτοις ἀποστερεῖν, ἐστὶν
ἀδικίας· ἀλλ' ἔμαθον ἐμαυτὸν
ἐπὶ μακρότερον ἀπολογούμενον
πρὸς ἀδόντας ὑμᾶς· ὦ ζεῦ καὶ
θεοὶ δι' ὅπερ μοι τῆς προστα-
σίας ταύτης συγγνώμονες
γένεσθε. παυσαμένου δὲ καὶ τοῦδε
Τ τοῦ λόγου, τὸν κοσμ γαμ τίμον ὁ
ἑρμῆς ἤρετο· σὺ δέ, τί καλὸν
ἐνόμισας πολλὰ ἀποκτησά-
μενον πολλὰ χαρίσασθαι τοῖς-

τε ἐπιθυμίαις ταῖς αὐτοῦ καὶ
τῶν φίλων ὑπουργοῦντα· ἅμα
καγχάσας οὖν ὁ Σάληνος μέγα,
ἀλλὰ πράγματα ζητεῖς ἄμαχα θέλων,
ἐλελήθεις σεαυτὸν ὀψοποιοῦ καὶ
κομμωτρίας βίον ἔχων· ἠνί-
ττετο δὲ αὐτὰ πάλαι μὲν ἥ τε κό-
μη· τό τε εἶδος ἀτὰρ νῦν καὶ ἡ γνώ-
μη σου κατηγορεῖ· τοῦτον μὲν
οὖν ὁ Σάληνος πικρότερον πως
καθήψατο· ψήφου δὲ ἐπιφερομέ-
νης, ἔφερον οἱ θεοί, λάθρα τὰς
ψήφους· εἶτα ἐπὶ μὸν τὸ πολ-
λαὶ τῷ Μάρκῳ· κοινολογησάμενος
δὲ ὁ Ζεὺς ἰδίᾳ πρὸς τὸν πατέρα,
προσέταξε κηρῦξαι τὸν Ἑρμῆν·
ὁ δὲ ἐκήρυττεν· ἄνδρες οἱ παρελ-
θόντες ἐπὶ τουτονὶ τὸν ἀγῶ-
να· νόμοι παρ' ἡμῖν εἰσὶ καὶ κρί-
σεις τοιαῦται γίνονται· ὥστε
καὶ τὸν νικῶντα χαίρειν· καὶ
τὸν ἡττώμενον μὴ μέμφεσθαι·
πορεύεσθε οὖν ὅποι ποθεῖ φίλον
ἑκάστῳ ὑπὸ θεοῖς ἡγεμόσι καὶ βι-
ωσόμενοι τὸ ἐντεῦθεν· ἑλέσθω
δὲ ἕκαστος ἑαυτῷ, τὸν προστά-
την τε καὶ ἡγεμόνα· μετὰ τὸ κή-
ρυγμα τοῦτο,

Ο μὲν ἀλέξανδρος ἔθει πρὸς τὸν -
ἡρακλέα· ὀκταβιανὸς δὲ πρὸς -
τὸν ἀπόλλωνα· ἀμφ᾽ ἄμφω δὲ ἀπρὶξ
εἴχετο τοῦ διὸς καὶ κρόνου μάρ-
κος· πλανώμενον δὲ πολλὰ
καὶ περιτρέχοντα τὸν καίσαρα·
κατελεήσας ὁ μέγας ἄρης ἥ τε
ἀφροδίτη παρ᾽ ἑαυτοὺς ἐκαλεσά-
την· τραϊανὸς δὲ παρὰ τὸν ἀ-
λέξανδρον ἔθει· ὡς ἐκείνῳ συγ-
καθεδούμενος· ὁ δὲ κωνσταν-
τῖνος οὐχ εὑρίσκων ἐν θεοῖς τοῦ-
βίου τὸ ἀρχέτυπον ἐγγύθεν τὴν
τρυφὴν κατιδὼν ἔδραμε πρὸς
αὐτήν· ἡ δὲ ὑπολαβοῦσα μα-
λακῶς καὶ περιβαλοῦσα τοῖς -
πήχεσι πέπλοις τε αὐτὸν
ποικίλοις ἀσκήσασα καὶ κα-
λλωπίσασα, πρὸς τὴν ἀσω-
τίαν ἀπήγαγεν· ὁ δὲ σφό-
δρα ἄσμενος ἐντυχὼν αὐτῇ·
συνεξαγαγὼν τῆς τῶν θεῶν
ἀγορᾶς τοὺς παῖδας· ἐπέ-
τριβον δὲ αὐτόν τε κἀκείνους,
οὐχ ἧττον τῆς ἀθεότητος οἱ -
παλαμναῖοι δαίμονες· αἵ-
ματων συγγενῶν τιμωρού-
μενοι δίκας· ἕως ὁ ζεὺς διὰ-

ὅτι τὴν κλαυδίου καὶ κωνσταντίου
ἔδωκαν ἅμα πιβιῶσαι· σοὶ δὲ π-
ρὸς ἡμᾶς λέγων ὁ ἑρμῆς δέ-
δωκα τὸν πατέρα μίθραν ἐ-
πιγνῶναι· σὺ δὲ αὐτοῦ τῶν ἐν-
τολῶν ἔχου πεῖσμα καὶ ὅρμον ἀ-
σφαλῆ ζῶντί σεαυτῷ παρασκε-
ύαζων· καὶ ἡνίκα ἂν ἐνθέδε
ἀπέρχῃ δέχῃ μετὰ τῆς ἀγαθῆς
ἐλπίδος ἡγεμόνα θεὸν εὐμε-
νῆ καθιστὰς σεαυτῷ: +

ὸν ἀχιλλέα φησὶν ἡ ποίησις·
ὁπότε ἐμήνισε καὶ διηνέχθη
πρὸς τὸν βασιλέα μεθεῖναι μὲν
ταῖν χεροῖν, τὴν αἰχμὴν καὶ
τὴν ἀσπίδα· ψαλτήριον δὲ
ἁρμοσάμενον καὶ κιθάραν ᾄ-
δειν καὶ ὑμνεῖν τῶν ἡμιθέων
τὰς πράξεις· καὶ ταύτην τὴν
διαγωγὴν τῆς ἡσυχίας ποιεῖ-
σθαι· ὢ μάλα εὔφρονος τοῦ-
το διανοηθέντα· τὸ μὲν γὰρ ἀ-
πεχθάνεσθαι καὶ παροξύνειν
τὸν βασιλέα· λίαν αὐθαδες

καὶ ἄγριον· τυχὸν δὲ οὐδ' ἐκείνης
ἀπολύεται τῆς μέμψεως τὸν
τῆς Θέτιδος ὅτι τῷ καιρῷ τὸν
ἔρωτα εἰς ὠδὰς καταχρῆται
καὶ κρούματα· ἔξον τότε μὲν
ἔχεσθαι τῶν ὅπλων καὶ μὴ με-
θιέναι· αὖθις δὲ ἐφ' ἡσυχίας ὑ-
μνεῖν τὸν βασιλέα καὶ ᾄδειν τὰ
κατορθώματα. οὐ μὴν οὐδὲ τὸν
Ἀγαμέμνονα φησὶν ὁ ποιητὴς ἐκ
μέσων τῶν λόγων, μετρίως καὶ πο-
λιτικῶς προσενεχθῆναι τῷ στρα-
τηγῷ· ἀλλὰ ἀπειλῇ ταῖ χρῆσθαι·
καὶ ἔργοις ὑβρίζειν τοῦ γέρως ἀ-
φαιρούμενον· συνάπτων δὲ αὐτοῖς
εἰς ταυτὸν ἀλλήλοις ἐπὶ τῆς ἐκ-
κλησίας μεταμελουμένοις·
τὸν μὲν τῆς Θέτιδος ἐκβοῶντα
Ἀτρείδη ἦ ἄρ τι τόδ' ἀμφοτέροι-
σιν ἄρειον ἔπλετο σοὶ καὶ ἐμοί·
εἶτα ἐπαρώμενον τῇ προφά-
σει τῆς ἀπεχθείας καὶ ἀπαρι-
θμούμενον τὰς ἐκ τῆς μήνιδος
συμφοράς· τὸν βασιλέα δὲ αἰ-
τιώμενον Δία καὶ μοίρας καὶ ἐ-
ριννῦν· δοκεῖ μοι διδάσκειν ὥσ-
περ ἐν δράματι τοῖς προκειμέ-
νοις ἀνδράσιν οἷον εἰκὸς χρόνο-

μένους· ὅτι χρηστοὺς μὲν βασιλέας,
μηδὲν ὑβρίζειν παραινῶν· μηδὲ τῇ δυ-
νάμει χρῆσθαι πρὸς ἅπαν· μη-
δὲ ἐφιέναι τὸν θυμὸν καθάπερ
ἵππον θρασύν· χωρὶς χαλινοῦ
καὶ ἡνιόχου φερόμενον· παραι-
νῶν δὲ αὐτοῖς στρατηγοῖς, ὑπερ-
οψίαν βασιλικὴν, μὴ δυσχεραί-
νειν φέρειν δὲ ἐγκρατῶς καὶ πρά-
ως τὰς ἐπιτιμήσεις· ἵνα μὴ
μεταμελείας αὐτοῖς ὁ βίος με-
στὸς ᾖ· ταῦτα κατ᾽ ἐ
Μαυτὸν ἐν μουσῶν ὦ φίλε βασιλεῦ·
καὶ σὲ μὲν ὅρον ἐπὶ τῶν ἔργων
τὴν ὁμηρικὴν παιδείαν ἐπιδει-
κνύμενον· καὶ ἐθέλοντα πάν-
τας κοινῇ τε ἅπαντας ἀγα-
θόν τι δρᾶν· ἡμῖν δὲ ἰδίᾳ τιμὰς
καὶ γέρα· ἀλλὰ ἐπ᾽ ἄλλοις πα-
ρασκευάζοντα· τοσοῦτον δὲ οἶ-
μαι κράτιστα τούτων ἑλλήνων
βασιλέων ἡμᾶς ἐθέλοντα· ὥσ-
τε ὁ μὲν, ἢ τιμᾶς τοῖς ἀρίστοις·
οὐδὲ οἶμαι καὶ τῶν φαύλων,
πολλοῖς τὴν συγγνώμην νέμοις·
τὸν ποιητικὸν ἐπαίρων τοῦ λό-
γου· ὃς τὴν συγγνώμην τῆς
τιμωρίας προτίθει· αἰσχυνοί-

μὲν, εἰ μὴ τοῦ παντελοῦς ἀφαιροί-
μην δ' ἐγγραμμον ἕτερος· καὶ ἐπαι-
νοίην ἂν δύναμιν τὰ προσόντα
σοι· οὔ τί φημι χρυσὸν καὶ ἁλουρ-
γῆ χλαῖναν· οὐδὲ μαδία πέπλους
παμποικίλους· γυναικῶν ἔρ-
γα σιδονίων· οὐδὲ ἵππων νι-
σαίων κάλλη· καὶ χρυσοκολλή-
των ἁρμάτων ἀστράπτουσαν
αἴγλην· οὐδὲ τὴν ἰνδῶν λίθον
εὐανθῆ καὶ χαρίεσσαν· καὶ τοι γε
εἴ τις ἐθέλοι τούτοις τὸν νοῦν
προσέχων· ἕκαστον ἄξιον λό-
γου, μικροῦ πᾶσαν οἶμαι τὴν
ὁμήρου ποίησιν ἀποχρώσας,
ἐπιδεήσεται λόγων· καὶ οὐκ ἀ-
πὸ χρυσοῦ μόνου τὰ σύμπαν-
σι ποιηθέντα τοῖς ἡμιθέοις
ἐγκώμια· ἀρξόμεθα δὲ
ἀπὸ τοῦ σκήπτρου πρότερον
Α ἄβουλα καὶ τῆς βασιλείας αὐ-
τῆς· τί γὰρ δὴ φησὶν ὁ ποιη-
τὴς ἐπαινεῖν ἐθέλων τῆς
τῶν πελοπιδῶν οἰκίας τὴν
ἀρχαιότητα· καὶ τὸ μέγεθος
τῆς ἡγεμονίας ἐνδείξασθαι·
ἂνα δὲ κρείων ἀγαμέμνων ἔστη
σκῆπτρον ἔχων τὸ μὲν ἥφαιστος

κάμε τάχθον· καὶ ἔδωκε διΐ· ὁ δὲ,
τῶ τῆς μαίας καὶ ἑαυτοῦ παιδί.
ἑρμείας δὲ ἀμάξας δώδεκα τρεῖς πο-
μενίλαβον· ἀτρεὺς δὲ θνήσκων
ἔλιπε πολὺ ἀρνὶ θυέστῃ· αὐ-
τὰρ ὁ αὖτε θυέστ᾽ ἀγαμέμνονι
δῶκε φορῆναι πολλῆσι νήσοισι
καὶ ἄργεϊ παντὶ ἀνάσσειν· αὐ-
τοῖσοι τῆς πελοπιδῶν
Οἰκίας ἡ γενεαλογία· Εἰς πρὸς
οὐδὲ ὅλας μυριάσας γενεᾶς· τὰ
γε μὴν τῆς ἡμετέρας ξυγγενείας,
ἤρξατο μὲν ἀπὸ κλαυδίου· μι-
κρὰ δὲ ἐν μέσω διαχιπούσης
τῆς ἡγεμονίας, τῶ πατὰ τοῦ
τῶ σῶ διαδέχεσθον· καὶ ὁ μὲν
τῆς ἱερᾶς πόλ(εως), τὴν ῥωμαίων διοι-
κεῖ· καὶ τὴν ἰταλίαν· καὶ τὴν λι-
βύην τε, ἐπ᾽ αὐτῇ· καὶ σαρδὼ
καὶ σικελίαν οὔτι φαυλοτέραν
τῆς ἀργείας καὶ μυκηναίας δυνα-
στείας· ὁ γε μὴν τοῦ ἐμοῦ γεν-
νήτωρ, γαλατίας ἔθνη τὰ μα-
χιμώτατα καὶ τοὺς ἑσπερίους
ἴβηρας· καὶ τὰς ἐκ τοῦ ὠκεανοῦ
νήσους· αἳ τοσοῦτω μείζους
τῶν ἐν τῇ θαλάττῃ τῇ καθ᾽ ἡμᾶς
ὁρωμένων νήσων· ὅσω καὶ τῆς

ἔσω θαλάττης, ἢ τῶν ἡρακλέ-
ους στηλῶν ὑπερχεομένη· ταύτας
δὲ ὅλας τὰς χώρας, καθαρὰς
ἀπέφηναν πολεμίων· κοινῇ
μὲν ἐπιστρατεύοντες, εἴ πο-
τε τούτου δεήσειεν ἐπιφοιτῶν-
τες δὲ ἔστιν ὅτε καὶ κατ᾽ ἰδίαν
ἕκαστος τῶν ὁμόρων βαρβάρων
ὕβριν τε καὶ ἀδικίαν ἐξέκοπτον.
ἐκεῖνοι μὲν δὴ τούτοις ἐκοσ-
μοῦντων· ὁ πατὴρ δὲ, τὴν μὲν προ-
σήκουσαν αὐτῷ μοῖραν μάλα
εὐσεβῶς καὶ ὁσίως ἐκτήσατο·
περιμείνας τὴν ἁμαρμένην
τελευτὴν τοῦ γεγηρακότος· τὰ
λοιπὰ δὲ, ἀπὸ βασιλείας εἰς
τυραννίδας ὑπενεχθέντα·
δουλείας ἔπαυσε χαλεπῆς·
καὶ ἦρξε ξυμπάντων· τρέφων
ὑμᾶς τοὺς αὐτοῦ παῖδας
προελόμενος ξυνάρχοντας·
ἀρετῶν ἄξιον μέγεθος δυνάμε-
ως παραβαλεῖν καὶ τὸν ἐν τῇ
δυναστείᾳ χρόνον καὶ πλῆθος
τῶν βασιλευσάντων, ἢ τοῦτο
μὲν ἐστὶν ἀληθῶς ἀρχαῖον.
Μετιτέον δὲ ἐπὶ τὸν πλοῦτον.
καὶ θαυμαστέον σου τὴν χλαμύδα,

σὺν τῇ πόρπῃ· ἤδη καὶ ὅμηρος
διὰ τριβῶν παρέσχον ἰδίαν, λό-
γου τε ἄξιον πολλοῦ, τὰς
τρωὸς ἵπποις· αἳ τρισχίλιαι
οὖσαι ἕλος κατεβουκολέοντο
καὶ τὰ φορεία τὰ ἐντεῦθεν· ἢ τοῖς
θρακίοις ἵπποις εὐλαβησόμε-
θα· λευκοτέροις μὲν τῆς χιό-
νος· θᾶν δ' ὠκυτέροις τῶν χα-
μερίων πνευμάτων· καὶ τὰ
ἐν αὐτοῖς ἅρματα· καὶ ἔχομεν
σε ἐν τούτοις ἐπαινῶν· οἰκίαν
τε οἶμαι τὴν ἀλκινόου· καὶ
τὰ τοῦ μενελέω δώματα· κατα-
πλήξαμενα καὶ τὸν τοῦ πολύ-
φρονος ὀδυσσέως παῖδα· καὶ
τοιαῦτα ληρᾶν παραπάσαντα
τοῖς σοῖς παραβαλὼν ἀξιώ-
σομεν· μὴ ποτε ἄρα ἔλαττον
ἔχειν ἐν τούτοις δοκῇς· καὶ οὐ
καταπαυσόμεθα τὴν φλυαρίαν
ἄχλορα μή τις ἡμᾶς μικρολο-
γίας καὶ ἀμαθίας τῶν ἀληθῶς
καλῶν γραψάμενος ἕλῃ· οὐ-
κοῦν ἀφεντέας χρὴ τοῖς ὁμηρί-
δαις τὰ τοιαῦτα πολυπραγμο-
νεῖν. ἐπεὶ τὰ τούτων ἐγγύτερος
πρὸς ἀρετήν· καὶ σὺν μάγομα

ποιεῖ προμηθείαν σώματος ῥώμης
καὶ τῆς ἐν τοῖς ὅπλοις ἐμπει-
ρίας, θαρροῦντος εἶναι. Τίνι
Δή ποτε οὖν τῶν ὑπὸ τῆς ὁμη-
ρικῆς ὑμνουμένων σάρκηρος
ἄξομεν; ἔστι μὲν γὰρ τοξότης
παρ' αὐτοῖς Πάνδαρος· ἀνὴρ
ἄπιστος καὶ χρημάτων ἥττων
ἀλλὰ καὶ ἀσθενὴς τὴν χεῖρα·
καὶ ὁ Πάρις τῆς φαῦλος· Τεῦ-
κρος τε ἐπ' αὐτοῖς καὶ Μηριόνης·
ὁ μέν, ἐπὶ τῆς Πελιάδος τοῦ
τόξου χρώμενος· ὁ δέ, ἠρίστευε
μὲν ἐν τῇ μάχῃ· ἐδεῖτο δέ, ὥσ-
περ ἐρύματος καὶ τείχους·
ταῦτά τοι καὶ προβάλλεται
τὴν ἀσπίδα· οὔτι τὴν οἰκίαν
τοῦ ἀδελφοῦ δέ· καὶ στοχάζεται
καθ' ἡσυχίαν τῶν πολεμίων·
γελοῖος ἀναφανεὶς στρατιώτης
ὅς γε ἐδεῖτο μείζονος φύλακος·
καὶ οὐκ ἐν τοῖς ὅπλοις ἐποιεῖ-
το τῆς σωτηρίας τὰς ἐλπίδας
σὲ δὴ εἶτα ἐθεασάμην ὦ φίλε
βασιλεῦ· ἄρκτοις καὶ παρδά-
λεις καὶ λέοντας συχνοὺς
καταβαλόντα τοῖς ἀφιεμέ-
νοις βέλεσι· χρώμενον δὲ πρὸς

θήραν καὶ παιδείαν τὸ ζῷον· ἐπειδὴ
τῆς παρατάξεως αὐτὸς ἐστὶ-
σοι καὶ θώραξ καὶ κράνος· καὶ οὐ-
κ ἂν καταδείσαιμι τὸν ἀχιλλέα
τοῖς ἡφαιστείοις λαμπρυνόμε-
νον καὶ ἀποπειρώμενον αὐτοῦ
καὶ τῶν ὅπλων, εἰ οἱ ἐφαρμόσσειε
καὶ ἐντρέχοι ἀγλαὰ γυῖα· ἀνα-
κηρύττει γὰρ ὡς ἅπαντα τὴν
σὴν ἐμπειρίαν, τὰ κατορθώ-
ματα τῶν μελῶν ἱππικῶν καὶ
τὴν ἐν τοῖς δρόμοις κουφότη-
τα· ἄρα σοι παρὰ Βαλλὰν ἀ-
ξιον τὸν προσθεῖν τοῖς ἀρα-
μένοις, ὄνομα καὶ δόξαν μα-
ζομα· ἢ τὸ μὲν, οὐδὲ εὕρητο-
τον· ἅρμασι γὰρ ἐχρῶντο καὶ
οὕτως πολλοῖς ἅζυξι· τάχα
δὲ ὅστις διήνεγκε τούτῳ προσ-
γεγονὲν ἀμφήριστος κρίσις· τά-
ξιν δὲ κοσμῆσαι καὶ φάλαγγα,
διατάξαι καλῶς, δοκεῖ μὲν οὐ-
θεὶς κράτιστος· καὶ τούτῳ διὰ
τὴν ἡλικίαν ὁ πύλιος οὐχ ὑ-
φίεται τῆς ἐμπειρίας· ἀλλὰ
Τῶν μὲν οἱ πολέμιοι πολλάκις
τὰς τάξεις συνετάραξαν· καὶ
οὐδὲ ἐστὶ που τάχους ἰσχυρόν·

ἂν τεχάν παρατατόμενοι· οἱ-
δὲ, μυρίαις μάχαις ξυμμίξαν-
τι καὶ πολεμίοις πολλοῖς μὲν
βαρβάροις· οὐκ ἐλάττοσι δὲ τού-
των τοῖς οἴκοθεν ἀφεστῶσι· καὶ
συνεχῶς τοῖς θεσμοῖς τῶν τὴν ἀρχὴν
σφετερίσασθαι προελομένων·
ἀρραγὴς ἔμεινεν ἀσφαλὴς καὶ
ἀδιάλυτος οὐδὲ μικρὸν ἐν-
δοῦσα· καὶ ὅτι μὴ λῆρος ταῦτα
μηδὲ πρὸς ποιήσεις λόγων τῆς
τῶν ἔργων ἀληθείας κρατοῦν·
ἐθέλω τοῖς παροῦσι διεξελ-
θεῖν· γελοῖον γὰρ οἶμαι πρὸς
σὲ περὶ τῶν σῶν ἔργων διηγεῖ-
σθαι· καὶ ταὐτ' ἂν πάθοιμι
φαύλως καὶ ἀκόμψως θεατὴς τῶν
φειδίου δημιουργημάτων, πρὸς
αὐτὸν φειδίαν ἐπιχειρῶν δι-
εξιέναι περὶ τῆς ἐν ἀκροπό-
λει παρθένου· καὶ τοῦ παρὰ
τοῖς πισαίοις διός· ἃ δὲ
ἐς τοὺς ἄλλους ἐκφέροιμι πα τὸς ἐμῶ
τῶν ἔργων· ἴσως ἂν ἀποφύ-
γοιμι τὸ ἁμαρτάνειν καὶ οὐ
κεκλήσομαι τῆς διαβολῆς ἔν-
οχος ὥστε ἤδη θαρροῦντα
χρὴ λέγειν· καὶ μονὴ τῆς ...

χεραίνοι φερομένως πράξεων ἀ-
πτεσθαι μειζόνων· εἰ καὶ τὸ τοῦ-
λόγου συνεκθεῖν μέγεθος· καὶ ταῦ-
τα θέλοντος ἐπεῖχεν καὶ βιαζο-
μένου· ὅπου δὴ τὸ μέγεθος τῶν-
ἔργων ἢ τῶν λόγων, αἰσθήματα-
περιχεομένη διαλυμαίνηται·
καθάπερ δὴ καὶ τὸν χρυσοῦν φα-
σὶ τοῦ θεσπεσίου ἔρωτος τοῖς-
πτεροῖς ἐπιβληθέντα, τὴν-
ἀκρίβειαν ἀφελεῖν τῆς τέχνης·
δεῖται γὰρ ἀληθῶς τῆς ὁμη-
ρικῆς σάλπιγγος τὰ κατορ-
θώματα· καὶ πολὺ πλέον ἢ-
τὰ τοῦ μακεδόνος ἔργα· δῆ-
λον δὲ ἔσται χρωμένοις ἡμῖν
τοῖς προσφόροις λόγοις, ὅπερ
ἐξ ἀρχῆς προὐθέμεθα· ἐφαί-
νετο δὲ τῶν βασιλέως ἔργων
πρὸς τὰ τῶν ἡρώων· πολλὴ
ξυμπέρασα· καὶ αὐτὸν ἔφαμεν
ἁπάντων προφέρειν· ἐν οἷς
μάλιστα τῶν ἄλλων ἕκαστος
διήνεγκε· καὶ ὅπως ἐπὶ τοῦ-
μὲν δὴ βασιλέως αὐτοῦ βασι-
λικώτερος· εἴπου μεμνήμε-
θα τῶν ἐν προοιμίοις ῥηθέν-
των· ἐπεὶ δάκρυμεν ἐπαιδεύ-

καὶ μάλιστα αὖθις καταφανεῖς
νῦν δὲ ἂν βούλεσθε, τὰ περὶ
τὰς μάχας καὶ τοὺς πολέ-
μους ἀθρήσωμεν. τίνας οὖν ὁ ὅμηρος
Διαφερόντως ὑμνήσειν ἑλλήνων
ὁμοῦ καὶ βαρβάρων, αὐτὰ ὑ-
μῖν ἀναγράψομαι τῶν ἐπῶν
τὰ καιριώτατα. τίς γὰρ
τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔν-
νεπε μοῦσα. αὐτῶν ἠδ' ἵππων,
οἳ ἅμ' ἀτρείδῃσιν ἕποντο. ἀν-
δρῶν μὲν μέγ' ἄριστος ἔην τε-
λαμώνιος αἴας ὄφρ' ἀχιλλεὺς
μήνιεν· ὁ γὰρ πολὺ φέρτερος
ἦεν. καὶ αὖθις ὥσπερ τοῦ τε λα-
μωνίου φησίν. αἴας ὃς περὶ
μὲν εἶδος, περὶ δ' ἔργα τέτυ-
κτο τῶν ἄλλων δαναῶν με-
τ' ἀμύμονα πηλείωνα. ἑλλή-
νων μὲν δὴ τούτοις ἀρίστοις
ἀφῖχθαι φησί. τῶν δ' ἀμφὶ
τοὺς τρῶας, ἕκτορα καὶ σαρ-
πηδόνα. βούλεσθε οὖν αὐτῶν
τὰ λαμπρότατα ἐπιλεξάμε-
νοι περὶ ἀθρόον μὲν τὸ μέγεθος
καὶ γὰρ πῶς ἐς ταυτὸν τισὶ
τῶν τοῦ βασιλέως ξυμφέ-
ρεται. ἤτε ἐπὶ τὸν ποταμὸν

τοῦ πηλέως μάχη καὶ ὁ περὶ
τὸ τάχος τῶν ἀχαιῶν πόλε-
μος· αἴας τε ὑπεραγωνιζό-
μενος τῶν νεῶν· καὶ ἐπι-
βεβηκὼς τῶν ἰκρίων, ἴσως
ἂν τυγχάνῃ τινὸς ἀξίας ἀ-
κόνος· ἐθέλω δὲ ὑμῖν διη-
γήσασθαι τὴν ἐπὶ τῷ ποταμῷ
μάχην· ἣν ἠγωνίσατο βασι-
λεὺς ἔναγχος· ἐπειδὲ ὅθεν ὁ
πόλεμος ἐξερράγη· καὶ ὅτι
ζῶν δίκη, καὶ οὐ τοῦ πλείονος
ἐπιθυμίᾳ διεπολεμήθη· κω-
λύει δὲ οὐδὲν· ὑπομνησθῆ-
ναι δ' ἰολιτῶν ἀνὴρ
Ἀπίστως καὶ θρασέως τῆς οὐρανο-
σηκοσόης ὀρεχθεὶς ἡγεμονίας·
κτάμενός τε ἀδελφὸν βασιλέως
καὶ τῆς ἀρχῆς κοινωνόν· καὶ
ἤρετο λαμπρὰς ταῖς ἐλπί-
σιν ὡς τὸν ποσειδῶνα μιμη-
σάμενος καὶ ἀποφαίνων οὐ
μῦθον τὸν ὁμήρου λόγον· πάν-
τως δὲ ἀληθῆ μᾶλλον· ὡς ἔφη
περὶ τοῦ θεοῦ τρὶς μὲν ὀρέ-
ξατο ἰών· τὸ δὲ τέταρτον, ἵκε-
το τέκμωρ αἰγάς· καὶ ὡς ἐν-
τεῦθεν τὴν παρουσίαν ἀ-

μαλαβοῶν, καὶ ὑποζεύξας τοῖς
ἵπποις, διὰ τοῦ πελάγους ἐ-
φέρετο· γηθοσύνη δὲ θάλασσα
διΐστατο· τοῖς δὲ περὶ τοῦτο· ῥίμ-
φα μάλ' οὐδ' ὑπένερθε διαίνε-
το χάλκεος ἄξων· ἅτε οὐδενὸς
ἐμποδὼν ὄντος· πάντων
δὲ ἐξισταμένων καὶ ὑποχωρούν-
των ἐν χαρμονῇ· οὐ κοινῶν οὐ-
δὲ αὐτοῦ πολέμιον οὐδὲ ἀν-
τίπαλον ᾤετο καταλείπε-
σθαι· οὐδὲ αὐτὸν κατάρξαν.
οὐδὲ ἐν τῷ μὴ ἐπὶ τούτῃ τρητοῦ
στῆναι ταῖς ἐμβολαῖς· Εἵπε-
το δὲ αὐτῷ, πολὺς μὲν ὁ πολι-
της πεζός· ἱππεῖς δὲ οὐ-
χ ἥττους· ἀλλ' οἵπερ ἄλκιμοι
κελτοὶ καὶ ἴβηρες· γερμανοί
τε οἱ πρόσσοι κοιρήνοι· καὶ τῇ
βλάττῃ τῇ πρὸς ἑσπέραν· ἐῶ
εἴτε ὠκεανὸν χρὴ καλεῖν· εἴτε
ἀτλαντικὴν θάλασσαν· εἴτε
ἄλλῃ τινὶ χρῆσθαι προσωνυ-
μίᾳ προσήκον, οὐκ ἰσχυρίζο-
μαι· πλὴν ὅτι δὴ αὐτὴν προ-
σοικῶν δυσμάχα καὶ ῥώμῃ δια-
φέροντα τῶν ἄλλων ἐθνῶν γέ-
νη βαρβάρων οὐκ ἀκοὴν μόνη ἤ-

περ δὴ τυγχάνει ποιητὴς οὐκ ἀσ-
φαλής· ἀλλ' αὐτὴν παράφασιν
ἐκμαθὼν οἶδα.

Τούτων δὴ τῶν ἐθνῶν ἐξαναστή-
σας οὐκ ἔλαττον πλῆθος, τῆς
οἴκοθεν αὐτῷ ξυνεφεπομένης
στρατιᾶς· μᾶλλον δὲ τὸ μὲν ὡς
οἰκεῖον ἅπαν τὸ πολὺ καὶ αὐτοῦ
σύμφυλον· τὸ δὲ ἡμέτερον·
οὕτως γὰρ καλῶν ἄξιον ὃ πρὸς
ῥωμαίων βίᾳ καὶ οὐ γνώμῃ
ξυνηκολούθησεν ἐοικός· ἐπι-
κούροις καὶ μισθοφόροις ἐν καρὸς
εἵπετο τάξει καὶ σχήματι λισ-
μοῖς μὲν ὡς εἰκὸς βαρβάροις καὶ
ξένοις· μέθῃ καὶ κραιπάλῃ τὴν
[illegible] περιφρονήσαντι·
καὶ ἀνελομένῳ· ἄρχοντι δὲ
ὥσπερ οἶμαι ἄξιον τὸν ἐκ τοιού-
των προοιμίων καὶ προνομι-
ων ἀρξάμενον· ἡττᾶτο δὲ αὐ-
τὸς οὔτι κατὰ τὸν Τυφῶνα
ὃν ἡ ποιητικὴ τερατεία φησὶ
χαλεπαίνουσαν τὴν γῆν ὠ-
δῖναι· οὐδὲ ὥς τι γίγας τῶν ὁ
κράτιστος· ἀλλ' οἵαν ὁ σοφὸς
ἐν μύθοις Πρόδικος τὴν κακί-
αν δημιουργεῖ· πρὸς ἀρετὴν

διαμιλλωμένην· καὶ ἐθέλου-
σαν τὸν τοῦ Διὸς ἅμα πάθαν
παῖδα· ὅ τι ἄρα αὐτῷ μάλι-
στα πάντων τί μη τέα εἴη·
προσάγων δὲ ἐς τὴν μάχην
προὐφέρετο τὰ τοῦ κατὰ πάρε-
ως· βαρβαρίζων καὶ ἀνόηται-
νων· οὗτοι μὴν κατέκαμον τὴ-
ρος μὴ τῆς ψυχῆς· οὐδὲ ἀλκῆ
τοῦ σώματος· τῷ πλήθει
τῶν ξυνεπομένων βαρβάρων·
οἷς δὴ καὶ λάαν ἅπαντα
προθήσαν ἢ πηλά· ταξίαρ-
χον ταξίαρχος καὶ λοχαγὸν
λοχαγὸς· καὶ στρατιώτην τῷ
ἐξεναντίας αὐταῖς ἀποσκε-
υαῖς καὶ κτήμασιν οὐδὲ τὸ
σῶμα ἀφαὸς ἐλεύθερον· αὔξα δὲ τοῦ αὐ
Ἐ ὼ δι' ἄνοιαν ἡ βασιλέως δαμό-
της· καὶ ἐκ τῶν διοχωρίων ἐς
τὰ πεδία καταγά γαμμύμενον
καὶ οὐ ξυνιέντα· δρᾶμα δὲ
ἀτεχνῶς καὶ οὐ στρατηγίαν τὸ
πρᾶγμα κρίνοντα· ταῦτά τοι
καὶ ἁλίσκεται καθάπερ ὄρ-
νιθες καὶ ἰχθύες δικτύοις·
ἐσάδη γὰρ ἐς τὴν εὐρυχωρίαν
καὶ τὰ παιδία τὰ παιόνων

ἦλθε· καὶ ἔδοξα καλὸν ἐνταῦθα
διάτομ μίζεσθαι, τό τε δὴ βα-
σίλεωσ, τοῖσ τε ἱππεῦσ ἑαυτοῖσ
καίρωσ τὰ τῆσ χώρασ ἑκατέ-
ροισ· τούτων δὲ, οἱ μὲν, εἰσὶν
αἰχμοφόροι, θώραξιν ἐλατοῖσ
καὶ κράνεσιν ἐκ σιδήρου πε-
ποιημένοισ, σκεπόμενοι, κνη-
μῖσί τε τοῖσ σφυροῖσ ἅμα-
λα περὶ ἡρμοσμέναι καὶ περὶ γο-
νατίδεσ· καὶ περὶ τοῖσ μηροῖσ
ἕτερα τοιαῦτα, ἐκ σιδήρου κα-
λύμματα· αὐτοὶ δὲ ἀπεχρῶσ ὥσ-
περ ἀνδριάντεσ ἐπὶ τῶν ἵππων
φερόμενοι, οὐδὲν ἀσπίδοσ
δεόμενοι· τούτοισ ἕπεται τὸ τῶν
ἄλλων ἱππέων πλῆθοσ ἀσπί-
δασ φέροντε· οἱ δὲ, ἀπὸ τῶν
ἵππων τοξεύοντεσ· πεζῶν δὲ,
ὁ μὲν ὁπλίτησ ἐν τῷ μέσῳ
συνάπτων ἐφεκάτερα τοῖσ ἵπ-
πεῦσιν, ἐξόπισθεν δὲ· οἱ σφεν-
δονῆται καὶ τοξόται· καὶ ὅσ-
ον ἐκ χειρὸσ βάλλει· γυμνὸν ἀσπί-
δοσ καὶ θώρακοσ· οὕτωσ κοσμη-
θείσησ τῆσ φάλαγγοσ, μικρὰ τοῦ
λοιποῦ κέροσ προελθόντοσ, ἅ-
παν τὸ πολέμιον συνετάρακτο·

θαι οὐκ ἐφύλαττε τάξιν· ἐγ-
κατέμεμφον δὲ τῶν ἱππέων, καὶ
οὐκ ἀνιέντων· φῶτα μὲν αἰσ-
χρῶν, ὅτι τὴν βασιλείαν αἰσ-
χιον ἀρπάσας· λέγει δὲ αὐ-
τοῦ τὸν ἱππαρχον· καὶ χιλί-
αρχοις καὶ ταξιάρχοις, πα-
μύπολλοις· καὶ ἐρρωμένως
ἀγωνιζομένοις· ἐπεὶ πᾶσι δὲ
τὸν ποιητὴν τοῦ περατοπέδοις
καὶ ἐλαχίστου δράματος· ὃσ
πρόσθεν ἐπὶ νόσῳ ἐβάλλετο
μεταποιῆσαι τὴν βασιλείαν·
καὶ ἀφελέσθαι τοῦ πέρσου ἡμᾶς·
καὶ πῶς ἔχαιρε τῆς πρώτης
πάρας οὐκ ἀπὸ σφαλλὰς οὐ-
δὲ ἁμαρτήσας· τότε δὲ ἐφε-
στὼς ἀνξωδίκη, πᾶμας ἀπαι-
τᾶ τῶν ἔργων καὶ ἄπιστον τι-
μωρίαν εἰς πράττεται· πάν-
των γὰρ ὁ πόσοι τοῦ πολέμου
τῷ τυράννῳ συνεφήψαντο·
Ἐμφανὴς μὲν ὁ θάνατος· δή-
λη δ᾽ ἡ φυγὴ καὶ ἄλλων μετα-
μέλεια· ἱκετῶν γὰρ πολλοὶ
καὶ ἔτυχον ἅπαντες συγ-
γνώμης βασιλέως· τὸν τῆς
θέτιδος ὑπερβαλλομένου

μεγαλοφοσύνη· ὁ μὲν γάρ, ἐπει-
δὴ Πάτροκλος ἔπεσεν, οὐδὲ πε-
ριορᾶν ἁλόντας ἐπὶ τοῖς
πολεμίοις ἠξίου· ἀλλ᾽ ἱκετεύον-
τας περὶ τοῖς γόνασιν ἐκτάναι·
ὁ δὲ ἐκήρυττεν ἄδειαν, τοῖς
ἐξαρνουμένοις τὴν ξυνωμοσί-
αν· οὐ θανάτου μόνον ἢ φυγῆς·
ἢ τινος ἄλλης τιμωρίας τὸν
φόβον ἀφαιρῶν· ὥσπερ δὲ ἐκ-
τίνος παλαιπωρίας, καὶ ἄλ-
λης δεινῆς τύχης τῆς ξυνῶν τῷ
τυράννῳ βιοτῆς, τῆς κατα-
γαγούσης σφᾶς, ἐπ᾽ ἀκεραίοις τοῖς
πρόσθεν ἠξίου· τοῦτο μὲν δὴ
καὶ αὖθις τεύξεται λόγου·
ἐκεῖνο δὲ ἤδη ῥητέον ὡς οὐδὲ
ἐν τοῖς καμένοις ἦν οὐδὲ ἐν τοῖς
φεύγουσιν· ὁ παιδοτρίβης
τοῦ τυράννου· τὸ γὰρ μηδὲ ἐλ-
πίσαι συγγνώμης εὔλογον· οὔ-
τω μὲν ἄδικα διαπονηθέντα·
ἀσεβῆ δὲ ἐργασάμενον φόνων
δὲ τῶν ἀνδρῶν καὶ γυναικῶν,
πολλῶν μὲν ἰδιωτῶν· πάν-
των δὲ σχεδὸν ὁπόσοι τοῦ βα-
σιλείου γένους μετέσχον ἁψά-
μενον· οὔτι ξὺν δόγματι· οὐδὲ-

ἀπὸ τοῦ ἐμφυλίου φόνου διανο-
ηθεὶς δρᾶν· παλαμναίους τι-
μὰς καὶ μιάστορας δὲ δίους καὶ
ὑφορώμενος ἐκ τοῦ μιάσματος
ἀλλὰ ὥσπερ τισὶ καθαρσίοις
καινοῖς καὶ ἀτόποις τοῖς
πρόσθεν ἀπονιπτόμενος
ἄνδρα ἐπ᾽ ἀνδρὶ· καὶ γυναῖκας
ἐπὶ τοῖς φιλτάτοις ἀποκτι-
νοῖς. εἰκότως ἀπέγνω τὴν
ἱκετηρίαν· ταῦτα εἰκὸς μὲν
αὐτὸν διανοηθῆναι, εἰκὸς δὲ
καὶ ἄλλως ἔχειν· οὐ γὰρ δὴ ἴσ-
μεν ὅ τι ποτὲ παθὼν ἢ δρά-
σας, ᾤχετο ἄϊστος· ἀφαντὰς
ἀλλ᾽ εἴτε αὐτὸν δαίμων ιπορὸς
ξυναρπάσας καθάπερ Ὅμηρος
φησὶ τὰς τοῦ Πανδάρεω θυγα-
τέρας, ἐπὶ γῆς ἀπείρατα·
ποινὰς ἀπαιτήσων τῶν δια-
νοημάτων· εἴτε αὐτὸν ὁ πο-
ταμὸς ὑποδεξάμενος ἐστὶ ἀν-
κελάδην τοῖς ἰχθύσι, οὔτι που
δῆλον· ἄχρι μὲν γὰρ τῆς μά-
χης αὐτῆς· καὶ ὁπηνίκα οἱ λό-
χοι συνετάττοντο πρὸς πό-
λεμον, θρασὺς ἦν ἐν μέσοις
ἀναστρεφόμενος· ἐπεὶ δὲ ἐπράχθη

τὰ τῆς μάχης ὥσπερ ἦν ἄ-
ξιον· ἀφανὴς ᾤχετο· οὐκ οἶδα
ὑπὸ τοῦ θεοῦ ἢ δαιμόνων κρυ-
φθείς· πλὴν ὅτι γε οὐκ ἐπα-
νάγουσι ταῖς τύχαις δῆλον·
οὐ γὰρ δὴ ἔμελλε φανεῖς· ἐπι-
ζουσίας ὑβρίζων ἀδεῶς, δι-
δαιμονίσαν ὡς ᾤετο· ἀλλὰ
ἐς τὸ παντελὲς ἀφανισθεὶς
τιμωρίαν ὑφέξειν· αὐτῷ μὲν
δὴ ἐς τύχη· πολλοῖς δὲ ὠφε-
λιμον καὶ πλάσμασι ἀξιωθέν-
τα λόγου· μέσης τῆς πράξεως
παρελόμενα τὸ ξυνεχὲς τῆς
διηγήσεως, ἐνταῦθα που πά-
λιν ἀφετέα· ἐπανιτέον δὲ ὅ-
θεν παρεξῆλθον· καὶ ἀποδο-
τέον τὸ τέλος τῆς μάχης· οὐ-
γὰρ δὴ ξὺν τῇ τῶν στρατηγῶν
δειλίᾳ καὶ τὰ τῶν στρατιωτῶν
πίπτει φρονήματα· ἀλλ᾽ ἐπεὶ
δὴ τὰ τῆς τάξεως αὐτοῖς
διεφθάρη, οὐ κακίᾳ σφῶν· ἀ-
πειρίᾳ δὲ καὶ ἀμαθίᾳ τοῦ τά-
ττοντος, κατὰ λόχους συνι-
στάμενοι, διηγωνίζοντο· καὶ
ἦν τὸ ἔργων ἀπάσης ἐλπί-
δος μεῖζον· τῶν μὲν, οὐχ ὑφι-

εμένων ἐς τὸ παντελὲς τοῖς κρα-
τοῦσι· τῶν δὲ ἐπεξελθεῖν τε-
λέως τὴν νίκην φιλοτιμουμένων
ξυμμιγής τε ἤρετο τάραχος
καὶ βοή· καὶ κτύπος τῶν ὅπλων
ξιφῶν τε ἀγνυμένων ἀμφὶ τοῖς
κράνεσι· καὶ τῶν ἀσπίδων περὶ
τοῖς δόρασιν· ἀνὴρ δὲ, ἀνδρὶ
ξυνίστατο· καὶ ἀπορρίπτουν-
τες τὰς ἀσπίδας, αὐτοῖς τοῖς
ξίφεσιν ὠθοῦντο· μικρὰ τοῦ
παθεῖν φροντίζοντες· πάντα
δὲ, ἐς τὸ δρᾶσαί τι δεινὸν τοὺς
πολεμίους, τὸν θυμὸν τρέ-
ποντες· τοῦ μὴ καθαρὰν αὐ-
τοῖς μηδὲ ἀδακρὺν παρασχεῖν
τὴν νίκην καὶ τὸ ἀποθνήσκειν
ἀνταλλαττόμενοι καὶ ταῦτα ἔ-
δρων οὐ πεζοὶ μόνον πρὸς τοὺς
διώκοντας ἀλλὰ καὶ ὅσοι ὑπὸ
τῶν τραυμάτων ἀχρεῖα παν-
τελῶς ἐπεπόργα τὰ τῶν ἱππέ-
ων δόρατα σφῶν ξυνιοὶ δὲ ἀ-
σὶν ὁμήλικας οἷς συγκατατετρώ-
τες καὶ ἀποπηδοῦντες· ἐς
τοὺς ὁπλίτας μετεσκεύαζον-
το· καὶ χρόνον μέν τοι χαλε-
πῶς καὶ μόλις ἀντεῖχον· ἐ-

πας δὲ οἱ πεζοὶ ἔβαλλον ἐκ-
τόξων πόρρωθεν ἀφιστάμε-
νοι· καὶ οἱ θωρακοφόροι σὺγκραιοσ
ἐν αὐτοῖς ἐχρῶντο ταῖς ἐπελά-
σεσιν ἅπερ ἐν πεδίῳ καθαρῷ καὶ
λείῳ· νὺξ τε ἐπέλαβεν· ἐνταῦθα
οἱ μὲν ἀπέφυγον ἄσμενοι· οἱ δὲ
ἐδίωκον καρτερῶς, ἄχρι τοῦ χά-
ρακος, καὶ αὐτὸν ἀναιροῦσιν, αὐ-
τοῖς ἀποσκευαῖς· καὶ ἀνδρα-
πόδοις καὶ κτήνεσιν·

Ἀρξαμένης δὲ ὥσπερ ἔφην, ἀρτί-
ως τροπῆς τῶν πολεμίων
καὶ τῶν διωκόντων οὐκ ἀνιέν-
των, ἐς τὸ λαιὸν ὠθοῦνται· ἵ-
ναπερ ὁ ποταμὸς ἦν τοῖς κρα-
τοῦσιν ἐν δεξιᾷ· ἐνταῦθα καὶ
ὁ πολὺς ἐγένετο φόνος· καὶ ἐ-
πλήσθη νεκρῶν· ἀνδρῶν τε καὶ
ἵππων, ἀναμίξ· οὐ γὰρ δὴ ὁ
Ἀράξης ἐῴκει Σκαμάνδρῳ· οὐ-
δὲ ἦν δυνάμενος τοῖς φόνοισιν
ὥστε τοὺς μὲν νεκροὺς αὐτοῖς ὅ-
πλοις ἐξωθεῖν· καὶ ἀπορρί-
πτειν τῶν ῥευμάτων· τοὺς
ζῶντας δὲ συγκαλύπτειν καὶ
ἀποκρύπτειν ἀσφαλῶς ταῖς
δίναις· τοῦτο γὰρ ὁ ποταμὸς

ὁ τρὼς· τυχὸν μὲν ὑπὸ δυνοί-
ας ἕδρα· τυχὸν δὲ οὕτως ἔ-
χων μεγέθους ὡς ῥάδιον πα-
ρέχειν· βαδίζειν τε ἐθέλοντι·
καὶ νηχομένῳ τὸν πόρον· ἔπειτα
καὶ πεφύρωται μιᾶς ἐμβλη-
θείσης ἐς αὐτὸν πελείας ἅπας
τε ἀναμορμύρων ἀφρῷ καὶ αἵμα-
τι πελάζειν ὁμοίως ἀχιλλέως·
εἰ χρὴ καὶ τοῦτο πιστῶσαι· βι-
αιότερον δὲ οὐδὲν ἠργάζετο·
καὶ ἐπιλαβόντος ὀλίγου καύ-
ματος, ἀπαγορεύειν τὸν πό-
λεμον· καὶ ἐξόμνυται τὴν ἐπι-
κουρίαν· ὅμηρος δὲ ἔοικεν ἀ-
μαι καὶ τοῦτο παίγνιον καὶ ἀ-
τοπον μονομαχίας πρὸ τῶν
ἐπιμονήσαντος· ἔπειτα καὶ τἄλλα
δῆλός ἐστιν ἀχιλλεῖ χαριζόμε-
νος· καὶ ὥσπερ θεατὰς ἄ-
γων τὸ στράτευμα μόνον ἄμα-
χον καὶ ἀνυπόστατον ἐπά-
γει τοῖς πολεμίοις· κτείνοντα
μὲν τοὺς ἐντυγχάνοντας·
τρεπόμενον δὲ ἅπαξ ἁπλῶς
πάντας· φωνῇ καὶ σχήματι
καὶ τῶν ὀμμάτων ταῖς προ-
βολαῖς· ἀρχομένης τε εἶναι

τῆς παρατάξεως· καὶ ἐπὶ τοῦ-
σκαμάνδρου ποιεῖ νίοσιν· ἕως
δὲ τὸ τάχος ἀσμενοι ζωελέ-
γησαν ὅδι ἀφύτοντες· ταῦτα
κάμνος, πολλοῖς ἔπεσι διηγού-
μενος καὶ θεῶν ἀναπλάττων
μάχας· καὶ ἐπικοσμοῦν μύ-
θοις τὴν ποίησιν· δεκάζει τοὺς
κριτὰς, καὶ οὐκέτι πρέπει,
δικαίαν φέρειν καὶ ἀψευδῆ· ὅσ-
τις δὲ ἐθέλει μηδὲν ὑπὸ τοῦ
κάλλους ἐξαπατᾶσθαι τῶν
ῥημάτων καὶ τῶν ἔξωθεν ἐ-
πιφερομένων πλασμάτων· ὥσ-
περ ἐν ἀρχῇ περὶ ἀρμάτων
καὶ χρημάτων, ἀνεοπασί-
της ἐστω κριτής· καὶ οὐ κεῦ-
λαβησόμεθα τὴν κρίσιν· εἶναι
μὲν γὰρ ἀγαθὸν στρατιώτην,
ὁμολογοῦμεν τὸν πηλέως ἐκ
τῆς ποιήσεως, ἅμα παθό-
μενοι· κνάμα μὲν ἄνδρας ἀ-
κοσί· ζωοὺς δὲ κ ποταμοῖο
δυώδεκα λέξατο κούρους·
τοὺς ἐξῆγε θύραζε τεθηπότας
ἠΰτε νεβροὺς· ποινὴν πα-
τρόκλοιο μενοιτιάδαο θανόν-
τος· τὸ σαυτῷ μὲν ἤνεγκεν·

εἰς τὰ πράγματα τῶν ἀχαιῶν
ἠνίκη τῶν ρότων· ὥστε οὐδὲ-
μίζονα φόβον τοῖς πολεμί-
οις ἐνέβαλλεν· οὐδὲ ἀπογνῶ-
ναι ἐς τὸ παντελὲς, ὑπὲρ σφῶν
ἐποίει· καὶ ὑπὲρ τούτων ἀμφοτέ-
ρου τινὸς μάρτυρος δεησόμεθα
τὸν ὅμηρον παραλίπουσιν·
καὶ οὐκ ἀπόχρη τῶν ἐπῶν μνη-
σθῆναι· ἀπεποίηκεν ἐκεῖνος·
ὁπηνίκα ἐπὶ τὰς ναῦς ἦλθεν
ὁ πρίαμος· φέρων ὑπὲρ τοῦ παι-
δὸς τὰ λύτρα ἐρομένου γὰρ με-
τὰ τὰς διαλύσεις, τὰς ὑπὲρ
ὧν ἀφίκετο, τοῦ τῆς θέτιδος
υἱέος· ὁπόσων ἐν ἡμερῶν ὁ-
λας κτερεΐζειν ἕκτορα· δῖον
τά τε ἄλλα διέξεισι· καὶ περὶ
τοῦ πολέμου φησί· τῇ δὲ δω-
δεκάτῃ πολεμίζομεν εἴπερ
ἀνάγκη· οὕτως οὐδὲ ἀπαγγέ-
λλαν ὁ κρίνα μετὰ τὴν ἐκεχειρίαν
τὸν πόλεμον· ὁ δὲ ἀπεμμνης καὶ
δάμος τύραννος ἐρητὲ ὑψη-
λὰ προυβάλλετο· τῆς αὐτοῦ
φύσεως· ἐξοικοδομήσας ἐπ' αὐ-
τοῖς φρούρια, οὐδὲ τῇ τῶν τρό-
πων ὀχυρότητι πιστεύσας· ἀ-

λλὰ ἱκετείας οὐ τετιμωμένος τυγχά-
νων· καὶ ἐτύγχανεν ὥσπερ ἦν ἄξιος·
καὶ μὴ ἐφωράθη πολλάκις, ἀ-
πιστος καὶ θρασύς· ἀλλὰ ἐπα-
λλοις προστεθεὶς ἀδικήματα τα-
μὲν δὴ κατὰ τὴν μάχην. εἰ μὴ δο-
ξῃ τις τῶν διηγουμένων, προστε-
χὲν ἐθέλει· μηδὲ ἔπεισιν εὐπεποι-
ημένοις· ἐς αὐτὰ δὲ ὁρῶν τὰ ἔρ-
γα κρινέτω· ἐξῆς τε εἰ βούλεσθε
τὴν αἰτίαν τοῦ ὑπὲρ τῶν νέων
καὶ τὴν ἐπὶ τοῦ τάχοις τῶν
ἀρχαίων, ἀντιθεῖναι μάχην
τῆς ἐπὶ τῆς πόλεως ἐκάμνης
ἔργοις· ἣ δὴ μεντοδομῖος πο-
ταμῶν καλλίστος, τὴν αὐτοῦ
προστίθησι φήμην οὔσης τε καὶ
ἀντιόχου βασιλέως ἐπωνύμου.
Γέγονε δὲ αὐτῇ καὶ ἕτερον ὄνομα,
βάρβαρον· συνήθως τοῖς πολ-
λοῖς, ὑπὸ τῆς πρὸς τοῖς τῇ-
δε βαρβάροις ἐπιμιξίας·
ταύτην δὲ τὴν πόλιν στρατὸς
ἀμήχανος πλήθει παρθυαί-
ων ξὺν ἰνδοῖς περιέσχεν· ὁ
πωνίκα ἐπὶ τὸν τύραννον βα-
δίζων προσοίκατο· καὶ ὅπερ
ἡρακλῆς φασὶν ἐπὶ τὸ λερναίων

ιον τί θηρίον· τοῦτο ἰδὼν ὁ Παρ-
θυαίων βασιλεύς, ἐκ τῆς ὑ-
πάρου τίγρητα διὰ βάσ· καὶ
ἐπιτειχίζων τὴν πόλιν χώ-
μασιν εἶτα ἐς ταῦτα ἐπαγό-
μενος τὸν Μυγδόνιον λίμνην
ἀποφαίνει περὶ τὸ χωρίον· καὶ
ὥσπερ νῆσον ἐν αὐτῇ συνεῖχε τὴν
πόλιν· μικρὸν ὑπερέχουσαν,
καὶ ὑπερφαινομένων τῶν ἐπάλ-
ξεων· ἐπολιόρκει δὲ ναυσί τε ἐ-
πάγων καὶ ἐπὶ νεῶν μηχανὰς
καὶ ἦν οὐχ ἡμέρας ἔργον· μηνῶν
δὲ οἶμαι σχεδόν τι τεττάρων·
οἱ δὲ ἐν τῷ τάχει συνεχῶς ἀ-
κρουόμενοι τοὺς βαρβάρους,
καταποντοῦντες τὰς μηχα-
νὰς τοῖς πυρφόροις· ναῦς
δὲ ἀνεῖλκον· πολλὰς μὲν ἐκ
τοῦ τάχους· ἄλλας δὲ κατέδυον
τῷ ὑπὸ ῥώμης τῶν ἀφιε-
μένων ὀργάνων, καὶ βάρους
τῶν βελῶν· ἔφερον τὸ γὰρ εἰς
αὐτὰς λίθους ταλάντων ὁλ-
κῆς ἀττικῶν ἑπτά· καὶ ἤδη
δὴ συχναῖς ἡμέραις ταῦτ'
ἔδρατο, ῥήγνυται μέρος τοῦ
χώματος· καὶ ἡ τῶν ὑδάτων

ἱκανὰ πλημμύρα· καὶ ἐπαύτην οὐ-
τάχοις μέρος, οὐκ ἔλασσον πη-
χέων ἑκατὸν συγκατηνέχθη·
ἐνταῦθα κοσμεῖ τὴν στρατιὰν,
τὸν περσικὸν τρόπον· δια-
σώζουσι γὰρ καὶ ἀπομιμοῦνται
τὰ περσικά· οὐκ ἀξιοῦντες
ἐμοὶ δοκεῖ παρθυαῖοι νομίζε-
σθαι· πέρσαι δὲ ἅμα προσ-
ποιούμενοι· ταῦτά τοι καὶ στο-
λῆ μηδικῆ χαίρουσι· καὶ ἐς μά-
χας ἔρχονται ὁμοίως ἐκείνοις,
ὅπλοις τε ἀγαλλόμενοι τοιούτοις,
καὶ ἐσθήμασιν ἐπιχρύσοις καὶ
ἁλουργέσι· σοφίζονται δὲ ἐν-
τεῦθεν, τὸ μὴ δοκεῖν ἀφεστάναι
μακεδόνων· ἀναλαβεῖν δὲ
ἐξ ἀρχῆς τὴν βασιλείαν προ-
σήκουσαν· οὐκοῦν καὶ ὁ βασι-
λεὺς ξέρξην μιμούμενος ἐ-
πί τινος χαροποιικοῦ κα-
θῆστο γηλόφου· προσῆγε δὲ ἡ
στρατιὰ σὺν τοῖς θηρίοις· ταῦ-
τα δὲ ἐξιδῶν ἅπετο· καὶ
ἔφερεν ἐκ σιδήρου, πύργους
τοξοτῶν πλήρεις·
τοσοῦτο δὲ αὐτῶν ἱππάς οἱ θω-
ρακοφόροι· καὶ οἱ τοξόται· ἐ-

τερον ἱππέων πλῆθος, ἀμή-
χανον· τὸ πεζὸν γάρ φασιν ἀχρεῖ-
ον ἐς τὰ πολεμικὰ καθέστη-
κεν· οὔτε ἐντίμου μετέχον τά-
ξεως, οὔτε δὲ σφίσιν ἐν χρείᾳ· πε-
διάδος οὔσης καὶ ψιλῆς τῆς
χώρας, ὃ πόσοι νέμονται. ἔ-
οικε γὰρ δὴ τὰ τοιαῦτα· πρὸς
τὰς τοῦ πολέμου χρείας, τιμῆς
καὶ ἀτιμίας ἀξιοῦσθαι· ὡς
ὂν ὅσῳ ἀχρεῖον τῇ φύσει, οὐδὲ
ἐκ τῶν νόμων πολυωρίας ἀ-
ξιοῦται. Συνέβη δὲ τοῦτο καὶ
περὶ τὴν κρήτην καὶ καρίαν·
καὶ ἐν ἄλλοις δὲ μυρίοις ἔθνε-
σι τὰ περὶ τὸν πόλεμον κατα-
σκευασθῆναι. ἡ κοινῇ καὶ ἡ θετ-τα-
λῶν οὖσα πεδιὰς ἱπποβοτεῖν
ἐναγωνίζεσθαι· καὶ ἐπιμελεῖ τ' ἂν
ἐπιτήδειος ἔφαμεν· τὰ γὰρ δὴ
τῆς ἡμετέρας πόλεως ἅτε
ἐς ἀντιπάλοις παντοδαποῖς
κατὰ πάντα· εὐβουλίᾳ καὶ τύ-
χῃ περιγενόμενα. Εἰκότως
ἐς ἅπαν εἶδος ὅπλων τε καὶ
παρασκευῆς ἄλλης ἡρμόσθη·
ἀλλὰ ταῦτα μὲν ἴσως, οὐδὲν
πρὸς τὸν λόγον· ὥσπερ ἂν εἰ ποιεῖν

οἱ ταῖς τῶν

οἱ ταῖς τῶν ἑταίρων τέχναις
καθάπερ νόμοις εἰσὶ τεταγμένοι·
ἐγὼ δὲ ἃ μὲν ποιῶ προσήκει, καὶ τού-
των ἐν καιρῷ σκέψομαι· τὰ γε
μὴν ὀνείδη τῶν ἀμῶν, οὐ χαλεπῶς
ἀπολύομαι· φημὶ γάρ· ὡς οὔτε
ἐγὼ τῶν τεχνῶν μεταποιοῦμαι·
οὔτε ὅστις μὴ τίσιν ὡμολόγη-
σεν ἐμμεμενάν, ἀδικεῖ μὴ φυλάττων·
τυχὸν δὲ καὶ ἄλλων οὐ κατορθώσο-
μεν, εὐπρεπῶν παραιτήσεων·
ἀλλ' οὐ γὰρ ἄξιον μακρότερον εἰς-
οὐδὲν δέον ἀπαρτᾶν τὸν λόγον,
καὶ ἀποπλανᾶσθαι τῆς ὑπο-
θέσεως· ἐπαναβῶμεν οἷον αὖ-
θις ἐς ἴχνος καὶ ὅθεν ἐξέβημεν·
ἐπειδὴ γὰρ οἱ Παρθυαῖοι κοσμη-
θέντες ὅπλοις· αὐτοί τε καὶ ἵ-
πποι ξὺν τοῖς ἰνδικοῖς θηρί-
οις· προσῄτον τῷ τάχα λαμ-
προὶ ταῖς ἐλπίσιν ὡς αὐτίκα
μάλα διαρπασόμενοι· καὶ ἐδέ-
δοτο σφίν, τοῦ πρόσω χωρᾶν
τὸ σημεῖον, ὠθοῦντο ξύμπαν-
τες· αὐτὸς τίς ἐθέλων πρῶ-
τος ἐσαλέσθαι τὸ τάχος· καὶ
οἴχεσθαι φέρων τὸ ἐπ' αὐτῷ κλέος·
ἦναι θεοῦ λὲν ἐτὸ παζον δέος

οὐδὲ γὰρ ὑπομενόντων σφῶν τὴν
ὁρμὴν τῶν ἔνδον, ἠξίουν παρ-
θυαίοις μὲν τοσοῦτον περὶ
τῆς ἐλπίδος· οἱ δὲ, πυκνώ-
τε εἶχον τὴν φάλαγγα κατὰ τὸ
διερρωγμένον τοῦ τείχους· καὶ
ὑπὲρ τοῦ συνεστῶτος, ὁπόσον
τὸ ἄχρηστον πλῆθος, ἐν τῇ πό-
λει κατέστησαν· ἀναμίξαντες
τῶν στρατιωτῶν οὐκ ἐλάττω μοῖραν·
ἐπεὶ δὲ οἱ πολέμιοι προσήλαυ-
νον καὶ οὐδὲν ἐκ τοῦ τείχους ἐ-
π' αὐτοὺς ἀφίετο βέλος, βεβαι-
ότερος εἶχον τὴν ἐλπίδα, τοῦ
κατὰ κράτος αἱρήσειν τὴν πόλιν·
καὶ τοῖς ἵπποις ἐπῄεσαν μάστι-
ξι καὶ ἥμασσον τὰς πλευρὰς
τοῖς κέντροις· ἕως ἐποίη-
σαν τὸ σφῶν καταλύω τοῦ ταχ-
ματα· ἐπεὶ ποιητὸ δὲ ὑπ' αὐτῶν
ἐκάμνων πρότερον, πρὸς τὸ ἐ-
πέχειν τοῦ μετοπωρίου τὰς
ἐκροάς· ἰλὺς τε τῆς περὶ τὸ
χωρίον, εὖ μάλα βαθεῖα· οὐ-
δὲ αὐτοῦ παντελῶς οὕτως
ὑπὸ τῆς ὕλης· καὶ διὰ τὸ
πεῖραν ἅμα τὴν γῆν· καὶ στέ-
γειν, δύνασθαι φύσει τὰς λι-

βάδδας· ἦν δὲ ἐνταῦθα καὶ-
παλαιὸν ἔρυμα τῇ πόλει·
τάφρος εὐρεῖα· καὶ ἐν αὐτῇ βα-
θύτερον συνεστηκὸς τέλμα· ἀ-
πομένων δὲ ἤδη τῶν πολε-
μίων καὶ ταύτης διαβαίνειν, ἐ-
πεξῄεσαν πολλοὶ μὲν ἔνδο-
θεν· πολλοὶ δὲ ἀπὸ τῶν τει-
χῶν ἔβαλλον τοῖς λίθοις· καὶ
αὐτῶν μὲν πολὺς ἐγένετο φό-
νος· φυγῇ δὲ ἔτρεπον τοὺς
ἵππους ξυμπεσόντες τῷ νό-
μον ἐθέλειν καὶ δηλοῦσι τὴν γνώ-
μην διὰ τοῦ σχήματος· ἐπι-
στρεφόντων γὰρ ἐπὶ πόδα εὐ-
θέως καὶ κατέφερον τοὺς ἱππέ-
ας· βαρεῖς δὲ ὄντας τοῖς ὅ-
πλοις, μᾶλλον ἐνάγοντο τῷ
τέλματι· καὶ αὐτῶν ἐνταῦθα
γίνεται φόνος, ὅσος οὔπω
πρόσθεν, ἐν πολιορκίᾳ τοσαύτῃ γεγονέν·
πάντα δὲ τὰ τῶν ἱππέων ὧδε
ἐξεπράττετο, τῶν ἐλεφάντων
ταραττομένων, καταπλήξεσθαι
μᾶλλον οἰόμενοι τῷ ξένῳ τῆς
μάχης· οὐ γὰρ τοσοῦτον αὐτοῖς
τὰ τῶν ὀμμάτων διέφθαρ-
το, ὡς μὴ καθορᾶν βαρύτερον

μὲν οὖν ἵππου τὸ θηρίον· φέ-
ρον δὲ ἄχθος, οὐχ ἵππον
δυσὶν ἢ πλειόνων· ἀμαζῶν
δὲ οἶμαι, σχοινίων τοξότας
καὶ ἀκοντιστάς, καὶ σιδηροῦν
πύργον· ταῦτα δὲ ὥσπερ ἅπαν-
τα πρὸς τὸ χωρίον χαροποι-
ῃ τὸν γεγονὸς τέλμα κωλύμα-
τα· καὶ ἐν αὐτοῖς ἔργῳ φαμερὰ
ὅθεν οὐκ ἄλκος ἐς μάχην ἰέναι·
ἀλλὰ ἐς κατάπληξιν τῶν ἐν-
δον παρασκευάζεσθαι· προ-
σῆκον δὲ ἐν τάξει· μέτρον δὲ
τοῦτο ἀλλήλων ἴσον· καὶ ἑω-
κὰ τάχα τῶν παρθυέων ἡ φάλαγξ·
ἃ μὲν θηρία, τοῖς πύργοις
φέροντες· τῶν ὁπλιτῶν δὲ
ἅμα πληρούντων τὰ ἐν μέσῳ
ταχθέντες οὕτως, οὐ μετά-
όφελος ἦσαν τῷ βαρβάρῳ· πα-
ράχον γὰρ ἡδονὴν καὶ τέρψιν
τοῖς ἐκ τοῦ τάχους θεωμένοις·
ὡς δὲ ἔτεμον τὸ δῖα κορφὰς οἱ
ὁμάλλαι πρᾶς καὶ πολύπελοις
πομπῆς· πεμπομένης λί-
θοις ἐκ μηχανῶν ἀφιέντες·
εἰς τὴν ταχομαχίαν προε-
καλοῦντο τοὺς βαρβάρους·

φιστά δὲ ὅμως ὀργὴν ὁ ζύρρο-
ποι καὶ δῆμον ποιούμενοι. τὸ
τέλος τα ὀφλῆσαι καὶ ἀπεια-
γὴν ὀπίσω τὴν παρασκευὴν
ἄπρακτον ἐγκελευομένου σφί-
σι τοῦ βασιλέως, προσῆγον
τῷ τείχει· καὶ ἔβαλλον τὸ τοῦ
κηρῶσ τοῖς λίθοις καὶ τοῖς
τοξεύμασι· καὶ ἐτρώθη τῶν
θηρίων τι μα· καὶ ἀπεθάνεν
ἐσεμεχθεὶς ὑπὸ τῆς ἰλύος·
λάσαντες δὲ καὶ ὑπὲρ τῶν
ἄλλων, ἀπῆγον ὀπίσω πά-
λιν τὸ στρατόπεδον ὡσ-
δὲ καὶ ταύτης ὁ παρθῶν αἰὸς
ἥμαρτε τῆς πείρας, τοὺς
τοξότας διελὼν ἐς μοίρας
διαδέχεσθαί τε ἀλλήλους
κελεύει· καὶ συνεχῶν βάλλειν
πρὸς τὸ διερρηγμένον τοῦ
τείχους· ὡς μὴ δυνηθῆναι ἀ-
νοικοδομῆσαι καὶ ἔχειν ἀσ-
φαλῶς τὴν πόλιν· οὕτως
γὰρ αἱρήσειν λαθὼν ἢ βιασά-
μενος τῷ πλήθει, τοὺς ἔν-
δον ἤλπιζε· μάταιον γὰρ
ἀπέφηνεν ἡ βασιλέως πα-
ρασκευὴ τοῦ βαρβάρου τὸ δὲ

αρηόμα· κατὰ μέρος τοῦ γὰρ-
τῶν ὁ πολιτῶν ἕτερον τά-
χος ἀργάζετο· ὁ δὲ ᾤετο
τοῖς ἀρχαίοις ἴχνεσιν, ἐς
τὰ θεμέλια χρωμένοις με-
λλαν ἔτι· ἡμέρα δὲ ὅλῃ,
καὶ νυκτὶ συνεχῶς ἐργαζο-
μένων, ἔς τε ἐπεί τε παρασ-
πηκὼς ὕψος ἠγείρετο· καὶ
ἔσωθεν ὤφθη λαμπτὴρ καὶ με-
σουργός· ἔκαμνον οὐδὲ ἀχαρῆ
χρόνον ἐνδιδόντων· δια-
δεχομένων δὲ ἀλλήλοις καὶ ἐκ
ἰζόντων ἐς τοὺς ἐφεστῶτας
τῶν καμένους τάχα· τοῦτο ἐξε-
πλήξε δ᾽ ἀμῶς τὸν βάρβαρον·
οὐ μὴν ἀπεῖπεν αὖθις τὴν στρα-
τιάν, ἀλλ᾽ αὖθις τοῖς αὐτοῖς
χρῆται παλαίσμασι· δρά-
σας δὲ οἶμαι καὶ παθὼν πα-
ραπλήσια, ἀπεῖπε τὴν
στρατιὰν ὁ ἀποχέσας· πο-
λλὰ δὲ ἀμαλώσας περὶ τοῖς
χώμασι καὶ τῇ πολιορκίᾳ
σώματα· σατράπας δὲ ἀ-
μελῶν σύχνοις· ἄλλον ἄλλο
ἀπαιτούμενος· τὸν μέν,
ὅτι μὴ καρτερῶς ἐπεποίητο

τὰ χώματα· ἄξε δὲ καὶ ἐπε-
κλύσθη παρὰ τῶν ποταμί-
ων ῥευμάτων· τὸν δὲ, ὡς
φαύλως ἀγωνισάμενον ὑπὸ
τοῖς τείχεσι καὶ ἄλλοις ἄλλας
ἐπάγων αἰτίας, ἐκτάμεν·
ἐπεὶ γὰρ δὴ μάλα τοῖς κατὰ τὴν
ἀσίαν βαρβάροις συνήθες ἐσ-
τὶ τοῖς ὑπηκόοις τὰς αἰτίας
τῆς ἰδίας πραγίας ἀποσκε-
υάζεσθαι· ὃ δὴ καὶ τότε δρά-
σας, ἀπιὼν ᾤχετο· καὶ ἄ-
τα πρὸς ἡμᾶς εἰρήνην ἐκ τού-
του· καὶ οὔτε ὅρκων οὔτε συν-
θηκῶν ἐλέησεν· ἄγεται δὲ
οἴκοι μέλων· εἰ μὴ κρατοῦσι
τὸ βασιλέως ἐπ' αὐτόν· καὶ δί-
κην ἀπαιτοίη τοῦ θράσους,
καὶ τῆς ἀπονοίας· ἆρά γε ἄ-
ξιον ταύτην παραβάλλειν
τὴν μάχην ταῖς ὑπὲρ τῶν
μεῶν τῶν ἑλληνικῶν καὶ τοῦ
τείχους ἀθρόοι τε δὲ ὧδε τὴν
ὁμοιότητα· καὶ τὸ διάφορον
λογίζεσθε· ἑλλήνων μὲν αἴ-
αν τε καὶ οἱ λαπῖθαι καὶ μενε-
σθεὺς, τοῦ τείχους ἄξαν· καὶ
περὶ εἶδον τὰς πύλας συν-

τριβομένας πρὸς Ἕκτορος·
καὶ τῶν ἐπάλξεων ἐπιβε-
βηκότα τὸν Σαρπηδόνα ἐπι-
βεβηκότα τὸν Σαρπηδόνα·
οἱ δὲ, οὐ διαρραγέντος αὐτο-
μάτως τοῦ τείχους ἐνέδοσαν·
ἀλλὰ ἐνίκων μαχόμενοι καὶ
ἀπεκρούοντο τὸ Παρθυαίοις·
ξυν ἰμβόλοις ἐπικρατήσαν-
τας· εἶτα ὁ μὲν ἐπιβὰς τῶν
νεῶν, ἀπὸ τῶν ἰκρίων ὥσ-
περ ἐρύματος πεζὸς διαγω-
νίζεται· οἱ δὲ, πρότερον ἀπὸ
τῶν τειχῶν ἐναυμάχουν· τέ-
λος δὲ, οἱ μὲν, τῶν ἐπάλξε-
ων ἅψαν· καὶ τῶν νεῶν· οἱ δὲ,
ἐνίκων· ναυσί τε ἐπιόντας
καὶ πεζῇ τοὺς πολεμίους· ἀ-
λλὰ γὰρ ἐῶ ποιῶν ὁ λόγος ἐ-
πὶ τὸν Ἕκτορα καὶ τὸν Σαρπη-
δόνα οὐκ οἶδα ὅπως ὑπου-
μέχθη· καὶ ἐπ' αὐτό γε φασὶ
τῶν ἔργων τὸ κεφάλαιον, τὴν
καθαίρεσιν τοῦ τείχους· μίαν
πρότερον ἡμέρα τοῖς Ἀχαι-
οῖς φησὶ τοῦ Πουλίου δημα-
γογοῦ καὶ βασιλέως ξυμπα-
θοντος, ἄρρηκτον εἶναι· κατα

σκιάσασθαι· σχεδὸν γὰρ μοι-
τοῦτο φαίνεται τὸ γενναιότα-
τον τῶν ἔργων ἕκτορος· καὶ
οὐχὶ γλαύκου τέχνη συνάρεν·
οὐδὲ σοφωτέρας ἐπινοίας δύ-
ναται· ὁμήρου σαφῶς διδάσκον-
τος· ὡς ἀχιλλέως μὲν φανέν-
τος ἐλύσατο οὐλαμὸν ἀν-
δρῶν· ἀγαμέμνονος δὲ τοῖς
προσσὶν ἐοικαμένου· καὶ ἐς τὸ
τάχος καταδιώξαντος· ἕκ-
τορα ὑπαπέζεσ· ἵνα που συσ-
ζοιτο καθ' ἡσυχίαν· προσποι-
ζων δὲ ὁ ποιητὴς αὐτὸν καὶ κα-
τα γελῶν τῆς δαλίας ὑπὸ
τῇ φηγῷ καὶ ταῖς πύλαις ἤ-
δη καθημένῳ, τὴν ἶριν ἥκειν
ἔφη παρὰ τοῦ διὸς φράζου-
σαν ὄφρα μὲν κεν ὁρᾷς ἀγα-
μέμνονα ποιμένα λαῶν· θύ-
νοντ' ἐν προμάχοισιν· ἐναί-
ροντα στίχας ἀνδρῶν, τόφρ' ὑ-
ποείκε μάχης· τοὺς γὰρ ἄκος
οὕτως ἀπεμνῆσαι καὶ ἄλλα
παραινεῖν τὸν δία· ἄλλως
τε οὐδὲ μαχόμενος· ξὺν πο-
λλῇ δὲ ἐσθῆτι ῥαστώνῃ καὶ ὁ πο-
νίκα δὲ ὁ τοῦ τυδέως τῆς ἀθη-

μας πολλὴν ἐκ τοῦ κράνους
ἅμα ἀπιούσης φλόγα· πολ-
λοὺς μὲν ἔκτανε· φυγεῖν δὲ
ἠνάγκαζε τοὺς ὑπομένοντας·
πόρρωθεν ἀφεστήκει τοῦ πο-
λέμου· καὶ πολλὰ ὑπομένων
ὀνείδη· ἀπέγνωσμεν κρα-
τοῦσι τοῖς ἀχαιοῖς ἀντιστῆ-
ναι· εὐπρεπῆ δὲ ποιεῖται
τὴν ἐς τὸ ἄστυ πορείαν· ὡς
τῇ μητρὶ παραινέσων ἐξιλε-
οῦσθαι τὴν ἀθηνᾶν μετὰ τῶν
τρωάδων· καὶ τί εἰ μὲν αὐ-
τὸς ἱκετεύε πρὸ τοῦ μέιξω
τῇ γερουσίᾳ, πολλὴν ἂν ἔσχε λό-
γον· προσήκει γὰρ οἶμαι τὸν
στρατηγὸν ἢ βασιλέα καθάπερ
ἱερέα καὶ προφήτην θεραπεύ-
ειν ἀξίως κοσμίως τὸν θεόν·
καὶ μηδὲν ὀλιγωρεῖν· μηδ' ἕ-
τερον μᾶλλον προσήκειν ἡγεῖ-
σθαι· μηδ' ἐπιτρέπειν ἀνά-
ξιον αὐτοῦ νομίζοντα τὸ
διακόνημα· οἶμαι τὴν πλά-
τωνος μικρὰ παρατρέψας
λέξιν οὐχ ἁμαρτήσεσθαι·
ὡς ὅπως ἀνδρὶ μᾶλλον δὲ βα-
σιλεῖ, ἐς τὸν θεὸν ἀνήρτη-
ται· πάντα τὰ πρὸς εὖ-

δαιμονίαν φέρονται· καὶ μὴν
ἐν ἄλλοις ἀνοις αἰωρᾶται ἐ-
ζῶν· δι' ἣ κακῶς πραξάν-
των, πλανᾶσθαι ἀναγκάζε-
ται αὐτὸς καὶ τὰ ἐκείνου πρά-
γματα, τοῦτο ἄριστα παρα-
σκευάσασθαι πρὸς τὸ ζῆν· εἰ
δὲ ἐπιτρέπει τις παραγρά-
φειν μηδὲ ἐκτρέπειν· μηδὲ
μεταλαμβάνειν τὸν νόμον·
ἀλλὰ ὥσπερ ἱερὸν ἀρχαῖον
κελεύσαμεν ἐᾶν ἀκίνητον,
οὐδὲ οὕτως ἄλλο τι διανοεῖ-
σθαι τὸν σοφὸν ἐροῦμεν· τὸ
γὰρ σεαυτοῦ· οὐ δή που τὸ
σῶμα φησίν· οὐδὲ τὰ χρή-
ματα· οὐδὲ δὴ πενίαν καὶ δό-
ξαν πορ· ταῦτα γὰρ αὐτοῦ μὲν
τινὸς οἰκεῖα κτήματα· οὐ μὴν
ἔστι ταῦτα αὐτός· ἀλλὰ μόνον καὶ
φρόνησιν φησί· καὶ τὸ ὅλον τὸν
ἐν ἡμῖν θεόν· ὃ δὴ καὶ αὐτὸς ἑ-
τέρωθι κυριώτατον ἐν ἡμῖν
ψυχῆς εἶδος ἔφη· καὶ ὡς ἄ-
ρα αὐτὸς δαίμονα θεὸς ἑκά-
στῳ δέδωκε· τοῦτο ὃ δή φα-
μεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ
τῷ σώματι· πρὸς δὲ τὴν

ἐμόσων ξυγγένειαν· ἀπὸ τῆς-
ἡμᾶς αὔραν· ἐστὶ τοῦτο γὰρ ἐλ-
κον ἐπισπᾶταν, ἀνηρτῆσθαι
χρῆναι ἑκάστου ἀνδρί· καὶ οὐ-
κ ἔστιν ἄλλοις ἀνοίγοις οἱ· τὰ μὲν
ἄλλα βλάπτειν καὶ κωλύειν ἐ-
θέλοντες, πολλάκις ἐδυνή-
θησαν ἢ δὴ δὲ τινες καὶ μὴ βου-
λόμενοι, τῶν ἡμετέρων τινὰ
παραλόγου τὸ· τοῦτο δὲ ἀκώλυ-
τον μόνον καὶ ἀπαθὲς ἐστίν·
ἔστω· μὴ δὲ θέμις τὸν ὑπὸ τοῦ-
χάρονος τὸ κράτιστον βλάπτε-
σθαι ἐπεὶ δὲ καὶ οὕτως ἐκάθεν
ὁ λόγος· ἀλλ᾽ ἔοικα γὰρ κατα-
φρονῆσαι ἡμᾶς τοῖς τοῦ Πλά-
τωνος λόγοις· μικρὰ ἐπὶ πάν-
των τῶν ῥημάτων ὥσπερ ἀ-
λιῶν ἢ χρυσοῦ ψήγματος· τού-
των δὲ οἱ μέν· ὡς ἡδίους τὴν
τροφήν· ὁ δὲ εὐπρεπῆ πα-
ρέχει τὴν θέαν· ἀμφότερα δὲ
ἐν τοῖς τοῦ Πλάτωνος λόγοις·
καὶ γὰρ αἰσθέσθαι διὰ τῆς ἀ-
κοῆς ἡδίους τῶν ἄλλων· καὶ
θρέψαι ψυχὴν ζωῇ ἡδονῇ καὶ
καθαρᾷ δυνατοί· ὥστε οὐ-
κ ἀποκνητέον οὐδὲ εὐλαβητέον·

τοῦ λόγου. εἴ τις ἄρα καταμέμ-
φοιτο τὴν ἀπληστίαν καὶ ὅτι
παντὸς ἐπιδραττόμεθα
ὥσπερ ἐν τοῖς συμποσίοις οἱ
λίχνοι τῶν ἐδωδίμων ἁπάν-
των, οὐχ ὑπομένοντες τὸ μὴ
τῶν προκειμένων ἅψασθαι.
τοῦτο γὰρ δὴ τρόπον τινὰ καὶ
ἡμῖν ἔοικε συμβαίνειν. ἑταίροις
ἅμα καὶ δόγματα ᾄδειν· καὶ
πρὶν ἢ μετρίως ἀφικέσθαι τοῦ προ-
τέρου λόγου, μέσον ὑπό τε νομί-
μοις φιλοσόφων ἐζητῆσθαι ῥη-
σας. πρὸς δὴ τοὺς τὰ τοιαῦτα
καταμεμφομένους, εἴρηται μὲν
ἤδη καὶ πρότερον· καὶ αὖθις
δὲ ἴσως λελέξεται. νῦν δὲ τὸ
συνεχὲς ἀποδιδόντες τῷ πα-
ρόντι λόγῳ ἐπὶ τὸν ἐξάρχης
ἐπανάγομεν· ὥσπερ οἱ προεκ-
θέοντες ἐν τοῖς δρόμοις. ἐλέ-
γετο δ' οὖν ἐν τοῖς ἔμπροσθεν
ὡς αὐτὸν μὲν τινὰ φησὶ Πλά-
των τὸν νοῦν καὶ τὴν ψυχήν· αὐ-
τοῦ δὲ τὸ σῶμα καὶ κτῆσιν. ταῦ-
τα δὲ ἐν τοῖς θαυμασίοις διώ-
ρισται νόμοις. ὥσπερ οὖν ἄν
τις ἐξάρχης ἀναλαβὼν λέγοι

ὅτῳ ἀνδρὶ ἐς νοῦν καὶ φρόνη-
σιν ἀνήρτηται πάντα ἐς εὐ-
δαιμονίαν φέροντα· καὶ μὴ ἐν
τοῖς ἐκτὸς ἐξ ὧν ἢ εὖ ἢ κακῶς
πραξάντων ἢ πασχόντων
πλανᾶσθαι, ἀναγκάζεται, οὐ
παρατρέπω τὴν λέξιν· οὐ-
δὲ παραποιῶ· ἐξηγοῦμαι δὲ
ὀρθῶς καὶ ἑρμηνεύω· οὕτως
δὲ καὶ ὅστις ἀντὶ τῆς αὐτοῦ
λέξεως τὸν θεὸν παραλαμ-
βάνει, οὐκ ἀδικεῖ· εἰ γὰρ τὸν
ἐν ἡμῖν δαίμονα· ὄντα μὲν ἀ-
παθῆ τῇ φύσει· καὶ θεῷ συγ-
γενῆ· πολλὰ δὲ ἀνατλάντα
καὶ ὑπομείναντα διὰ τὴν πρὸ-
ς τὸ σῶμα κοινωνίαν· καὶ τοῦ
πάσχειν τε καὶ φθείρεσθαι φαν-
τασίαν πολλοῖς παρασχόν-
τα, τοῦ παντὸς ἕκαστος, προ-
ΐεται βίου τότε εὐδαιμο-
νίσειν μέλλοντι, χρὴ προσ-
δοκᾶν αὐτόν, ὥσπερ τοῦ καθα-
ροῦ καὶ ἀμιγοῦς γηΐνῳ σώμα-
τι μοῦ, διαμονηθῆναι· ὃν δή,
καὶ θεὸν ἀναφαμεν· καὶ αὐτὸς
τὰς ἡνίας ἐπὶ τοῖς τρέπων τοῦ
βίου χρῆναι παραινοῦμεν,

πάντα τε ἰδίοις τὴν καὶ βα-
σιλέα· τόν γε ὡς ἀληθῶς ἄ-
ξιον τῆς ἐπικλήσεως· καὶ
οὐ νόθον οὐδὲ ψευδώνυμον·
συνιέντα μὲν αὑτοῦ καὶ αἰσθα-
νόμενον δι' ἀξίων τε μένειν· ὑφιέ-
μενον δὲ αὐτὸς τῆς ἀρχῆς· καὶ
ὑποχωροῦντα τῆς ἐπιμελεί-
ας ὡς εὔφρονα· ἀνόητον γὰρ
καὶ μάλα αὐθαδες· τῶν μὴ κα-
θάπαξ ἐς δύναμιν πείθεσθαι
τῷ θεῷ ἀρετῆς ἐπιμελουμέ-
νοις· τούτοις γὰρ μάλιστα χαίρειν
ὑποληπτέον τὸν θεόν· οὐ μὴν
οὐδὲ τῆς ἐννόμου θεραπείας
ἀποστατέον· οὐδὲ τὴν τοιαύ-
την τιμὴν ὑπεροπτέον τοῦ
κρείττονος· θεραπείαν δὲ ἐν ἀρετῆς
μοίρᾳ τὴν εὐσέβειαν τὴν κρα-
τίστην· ἔστι γὰρ ὁσιότητος δὴ
καὶ ὁσιώτης ἔκγονος· αὕτη δὲ ὅ-
τι τοῦ θειοτέρου ψυχῆς εἴδους
ἐστὶν οὐδένα λέληθεν τῶν ὅσοι
τὰ τοιαῦτα μεταχειρίζονται·
ταῦτά τοι καὶ ἐπαινοῦμεν τὸν
Ἕκτορα· σπεύδειν μέν, μηδὲ
ἐς ἀφιέναι· μηδὲ ἀπολα παν
τὴν μάχην μέλλοντι δεῖ οὐ-

στρατηγοῦ καὶ βασιλέως· ἐστὶ τε-
λεῖν ἔργον· διακόνου δὲ καὶ ὑπη-
ρέτου, ἰδιώτου τινός· ἢ Ταλθυ-
βίου τάξιν ἀναληψόμενον·
ἀλλ' ἔοικέ γε· ὅπερ ἔφη μὲν ἐξ
ἀρχῆς, πρόφασις εὐπρεπὴς εἶ-
ναι φυγῆς τοῦτο· καὶ γὰρ
πώποτε τῷ Τελαμῶνος υἱὸς ζωΐσα-
το· πεισθεὶς τῇ φήμῃ τοῦ μάν-
τεως, ἀσπασίως διελύθη·
καὶ ἔδωκε δῶρα τὸν θάνατον
ἐκφυγὼν ἀσμένως· καθόλου
δὲ εἰ πᾶν φαύλοισιν ἕπεται
θρασύτης· αἴτιος δὲ ἐστὶν οὐ-
δαμοῦ νίκης καὶ τροπῆς·
πλὴν ὅτε πρόθυμος ἐσήλατο
τάχος ἀχαιῶν ἐξ αὐτοῦ Σαρπη-
δόνι· πότερον θεῶν ὡς οὐκ ἔ-
χοντες τηλικοῦτον ἔργον βα-
σιλέως, εὐλαβησόμεθα τὸν
ἀγῶνα· μή ποτε ἄρα μικρὰ
μεγάλοις καὶ φαῦλα σπουδῆς
ἀξίοις νομίζοντες παρατιθέ-
ναι δόξομεν, ἢ τολμήσομεν
καὶ πρὸς τηλικοῦτον ἔργον ἁμιλ-
λᾶσθαι· οὐκοῦν ἐκάλουν μὲν ἦν
τὸ τάχος ὑπὲρ τῆς νίομος·
ἐμοῦ δὲ ὅλως τοῦ προμεσημ-

βρίας χρόνῳ συντελεσθὲν· ὁ-
ποιὸς ἡμῖν τοὺς χάρακας
ἐννόμων κατασκευάζεσθαι· τὸ-
δὲ ὑπὲρ τῶν ἄλλων στοιχείων τάχος,
παλαιόν τε ἰῶν φούριον· καὶ-
αὐτὸς χρῆται μετὰ τῶν φύσιν
ὁ τύραννος· ὥσπερ ἐν ὑμάτῃ-
νεουργεῖς ἀποφθιῶνας· καὶ ἀξι-
όλογον φρουρὰν ἀπολιπών,
ἐρρωμένων ἀνδρῶν· οὐδὲ αὐ-
τοὺς ὡς πορρωτάτω πορε-
ύεται· ἔμενε δὲ ἐν τῇ πολι-
σίον πόλει· ἐπὶ δὲ ἰταλῶν
ἐμπόριον πρὸς θαλάττῃ μά-
λα εὐδαίμον καὶ πλούτῳ βρύ-
ον· φέροντες γὰρ ἐνταῦθεν φορ-
τία μουσικὰ καὶ παιόνες· καὶ τῶν-
ἰταλῶν ὁπόσοι τῶν μεσόγαι- περὶ οὐινετῶν·
αν κατοικοῦσιν· ἐνε τοῖ δὲ οἱ-
και τὸ πρόσθεν ὠνόμαζον το·
νῦν δὲ ἤδη ῥωμαίων τὰς πό-
λεις ἐχόντων, τὸ μὲν ἐξ ἀρ-
χῆς ὄνομα σώζουσι βραχέα
προσθήκῃ γράμματος ἐν ἀρ-
χῇ τῆς ἐπωνυμίας· ἐστὶ
δὲ αὐτοῦ σύμβολον χαρακτὴρ
εἷς· ὀνομάζουσι δὲ αὐτὸν οὐ·
καὶ χρῶνται ἀντὶ τοῦ βῆτα·

πολλάκις πρὸς τὴν φύσεως
οἶμαί τινος ἕνεκα καὶ ἰδιό-
τητος γλώττης· τὸ μὲν δὴ
ξύμπαν ἔθνος ὧδε ἐπο-
νομάζεται ὅτι πόλιν ἣ ἀετὸς
ὥς φασιν οἰκιζομένην, δεξιὸς
ἐκ δεξιοῦ ἱπτάμενος τὴν αὐ-
τοῦ φήμην χαρίζεται· οἰκά-
ται δὲ ὑπὸ τοῖς ποσὶ τῶν
ἄλπεων· ὄρη δὲ ἐστὶ ταῦτα
παμμήκη καὶ ἀπόρρωγες ἐν
αὐτοῖς πέτραι· μόλις ἁμα-
ξήμασι καὶ ὀρικοῖς ζεύγεσι τὴν
ὑπέρβασιν βιαζομένοις ξυγχω-
ροῦντα· ἀρχόμενα δὲ ἀπὸ θα-
λάττης ἣν δὴ τὴν Ἰώνιον εἶναι
φαμὲν ἀποτειχίζοντα δὲ τὴν
μέσην Ἰταλίαν· ἀπό τε Ἰλλυρι-
ῶν καὶ Γαλατῶν· καὶ ἐς τὸ τυ-
ρρηνὸν πέλαγος, ἅμα παυό-
μενα· Ῥωμαῖοι γὰρ ἔστι δὴ τῆς
χώρας ἁπάσης ἐκράτησαν· ἐ-
πεὶ δὲ ἐν αὐτῇ, τό τε τῶν Ἑνετῶν
ἔθνος· καὶ Λίγυες τινές· καὶ τῶν
ἄλλων Γαλατῶν οὐ φαύλη μοῖ-
ρα, τὰ μὲν ἀρχῆς σφῶν ὀνόμα-
τα σώζειν· οὐδὲ ἐκώλυσαν·
τῷ κοινῷ δὲ τῶν Ἰταλῶν ξυν-

χώραν κατηναγκάσαν· καὶ μὴν
ὁπόσα μὲν εἴσω τῶν ἄλπε-
ων κατοικεῖται· ἔστε ἐπὶ τὸν
ἰόνιον καὶ τυρσηνὸν καθήκοντα·
ταύτῃ κοσμεῖται τῇ προσωνυμίᾳ·
τὰ δὲ ὑπὲρ τῶν ἄλπεων τῶν
πρὸς ἑσπέραν, γαλάται νέμον-
ται· καὶ ῥαιτοί· τὰ δὲ ὑπὲρ τὴν
ἄρκτον ἵνα ῥήνου τε ἄσιν αἱ πη-
γαὶ καὶ αἱ τοῦ ἴστρου πολλοῖσιν
παρὰ τοῖς γέτοσι βάρβαροι·
τὸ δὲ ἐκ τῆς ἕω· ταῦτα δὴ,
ὡς ἄλπεως ‖ ὁ χῖρος ὃν ἔφαμεν·
ἵναπερ ὁ τύραννος τὴν φρου-
ρὰν κατεσκευάσατο· οὕτω δὲ
τῆς ἰταλίας ἁπανταχόθεν
ὄρεσί τε συνεχομένοις λίαν
δυσβάτοις καὶ θαλάσσῃ τενα-
γώδει, ἅ τε ἐς ῥέοντων ποτα-
μῶν μυρίων· οἳ ποιοῦσι ἕλος
προσεχὲς τοῖς αἰγυπτίοις ἕ-
λεσι· τὸ ξύμπαν τῆς ἐκάμνης
θαλάττης πέρας βασιλεὺς
ὑπὸ σοφίας ἔλαβε· καὶ ἐβιά-
σατο τὴν ἄνοδον· καὶ ἵνα μὴ
διατρίβειν δοκῶ αὖθις τε
ὑπὲρ τῶν δὶς χωρίων δια-
λεγόμενος· καὶ ὅσος οὔτε στρατὸ-

πεδον ἦν οὐδὲ χάρακα πλη-
σίον καταβαλέσθαι· οὔτε ἐπά-
γειν μηχανὰς καὶ ἑλεπόλεις·
ἀνύδρου δ' ἄγαν ὄντος· καὶ οὐ-
δὲ μικρὰς λιβάδας ἔχοντος
τοῦ περὶ χωρίου, ἐπ' αὐτὴν
ἄγει τὴν αἵρεσιν· καὶ εἰ βούλε-
σθε τὸ κεφάλαιον ἀθρόως ἐλθεῖν
τοῦ λόγου, ὑπομνησθῆτε τῆς
τοῦ Μακεδόνος ἐπὶ τοῖς Ἰνδοῖς
πορείας· οἳ τὴν πέτραν ἐκά-
λουν κατοικοῦσιν· ἐφ' ἣν οὐδὲ τῶν
ὀρνίθων ἦν τοῖς κουφοτάτοις
ἀναπτῆναι, ὅπως ἑάλω·
καὶ οὐδὲ πλέον ἀκούειν ἐπι-
θυμήσατε· πλὴν τοσοῦτον μό-
νον, ὅτι Ἀλέξανδρος μὲν ἀπέ-
βαλε πολλοὺς Μακεδόνων ἐ-
ξελὼν τὴν πέτραν· ὁ δὲ ἡμέ-
τερος ἄρχων καὶ στρατηγὸς οὐ-
δὲ χιλίαρχον ἀποβαλὼν ἢ
λοχαγόν τινα· ἀλλ' οὐδὲ ὁπλί-
την τῶν ἐκ καταλόγου καθαρὰν
καὶ ἀδάκρυτον περιεποιήσατο
τὴν νίκην· ἐκ τῶν δὲ οἱ μὲν καὶ
σαρπηδὼν πολλοὺς ἐκ τοῦ τει-
χίσματος ἔβαλον· ἐντυχόν-
τος δὲ ἀριστεύοντι τῷ πατρόκλῳ

ὁ μὲν·

ὁ μὲν ἐπὶ τῶν μέσων κτάμεται·
ὁ δὲ. ἔφευγεν αἰσχρῶς· οὐδὲ –
ἀμελούμενος τὸ σῶμα τοῦ φί-
λου· οὕτως οὐδὲ ξὺν ῥώ· ῥώ-
μῃ δὲ μᾶλλον σωμάτων ἢ θρα-
συνόμενοι, τὴν ἐς τὸ τάχος
πάροδον ἐτόλμων· βασιλεὺς
δὲ οὐ μὲν ἀλκῆς ἔργον ἔτι καὶ
θυμοῦ· χρῆται τοῖς ὅπλοις·
καὶ κρατεῖ ξυμβουλίᾳ· οὐ-
δὲ μόνον ἐδέησε γνώμης, ταύ-
τῃ κυβερνᾷ καὶ κατεργάζεται·
πράγματα τοσαῦτα, ὁπόσα
ὁ σίδηρος ἐξελᾶν ἰσχύσει· λε-
πτὰ δὴ καθ᾽ αὑτὸν ὁ λόγος φε-
ρόμενος ἥκει· πάλαι ποθῶν
τὴν ξύνεσιν καὶ τὴν εὐβουλί-
αν ἐπαινῶν, ἀποδοτέον·
καὶ ὑπὲρ τούτων ὀλίγα ἅπαν-
τα διεληλύθαμεν· ὁπόσα
δὲ ἡμῖν ἐφαίνετο πρὸς τὰ
τῶν ἡρώων ἐκείνων ἔχειν
ξυγγένειαν, μεγάλα μικροῖς
εἰκάζοντες, δι᾽ ὁμοιότητα
δηλοῦμεν· δῆλον δὲ ἀπο-
βλέψαντι, πρὸς τὸ τῆς πα-
ρασκευῆς μέγεθος· καὶ τῆς
δυνάμεως τὴν περιουσίαν·

τό τε γὰρ ἥ τε ἑλλὰς ἐκεκίνητο
ξύμπασα· καὶ θρακῶν μοῖρα
καὶ παιόνων τό τε τοῦ πριά-
μου ἀσιατικὸν ξύμπαν ὅσον
λέσβος ἔσω μάκαρος ἕδος
ἐντὸς ἐέργει· καὶ φρυγίη καθύ-
περθεν· καὶ ἑλλήσποντος ἀ-
πείρων· τὰ δὲ μυῶν ἔθνος σωΐ-
ον τὰ βασίλεια· καὶ συνεπολέ-
μουν τε τὸν πόλεμον καὶ τοῖς
ἀντιταξαμένοις καταρίθ-
μιον· μὴν λῆρος ἦ καὶ φλυ-
αρία περιττὴ καὶ λίαν ἀρ-
χαῖος ὅσον δὲ μάχοις αἰσχύ-
νεσθαι δυνάμεις, τοσοῦτος τὰ
ἔργα προφέρειν ἄκος· ὥσ-
τε ἀνάγκη καὶ ταῦτα ἐκείνων
ὑπερραίρειν· πλήθει γε μὴν·
τοσοῦτό τε ἄξιον συμβαλεῖν·
οἱ μὲν γὰρ, περὶ μιᾶς ἐμά-
χοντο πόλεως, ξυνεχῶς·
καὶ οὐδὲ ἀπελάσαι τοὺς ἀ-
χαιοὺς ἐπικρατοῦντας ἠ-
δύναντο· οὐδὲ ἐκεῖνοι νικῶν-
τες ἐξελεῖν καὶ ἅμα τρέψαι
τῶν πριαμιδῶν τὴν ἀρχὴν
καὶ τὴν βασιλείαν ἴσχυον· δε-
καέτης δὲ αὐτοῖς ἀνηλώθη

χρόνος· βασιλεῖ δὲ, πολλοὶ
μὲν ἦσαν ἀγῶνες· ἀνεγράφη-
γερμανοῖς τοῖς ὑπὲρ τοῦ ῥήνου
πολεμῶν· τὰ ἐπὶ τῷ τί-
γρητι ζεύγματα· καὶ τῆς παρ-
θυαίων δυνάμεως καὶ τοῦ φρο-
νήματος, ἔλεγχος οὐ φαῦλος
οὐ τοῦ ὑπισχνούμενον ἀμεῖψαι τῇ
χώρα πορθουμένῃ· ἀλλὰ πε-
ρὶ ἄνδρον ἅπασαν τὴν θάσσαν-
τιῶν ἀσσοτίγρητος καὶ λύκου·
τῶν γε μὲν πρὸς τὸν τύραν-
νον παραθέντων, ὅτε ἐπὶ σι-
κελίαν ἔπλευσε καὶ ἐς καρχη-
δόνα· ἠριδανοῦ τε ἀπὸ ροκα-
ταλήψας τῶν ἐκβολῶν· ἅ-
πάσας αὐτοῦ τὰς ἐν ἰταλίᾳ
δυνάμεις ἀφελόμενος· καὶ τό-
γε τελευταῖον, καὶ τρίτον πά-
λαισμα περὶ ταῖς σκοπιαῖς
ἄλπεσιν· ὃ δὴ βασιλεὺς μὲν-
παρέσχεν ἀσφαλῆ καὶ τοῦ μέ-
λλοντος ἄδειαν τὴν ὑπὲρ τῆς
νίκης ἢ δόρυ· τὸν δὲ ἡττη-
θέντα δίκην ἐπιθεῖναι δι-
καίαν αὐτὸς· καὶ τῶν ἐξηργα-
σμένων παρ' ἀξίαν κατη-
νάγκασε. Τοσαῦτα ὑπὲρ τῶν

βασιλέως ἔργων ἐν βραχεῖ
διεληλύθαμεν· οὔτε κολα-
κείᾳ προστιθέντες καὶ αὔ-
ξαν ἐπὶ τὸ χαριέστερον· τύχον·
οὐδενὸς διαφέροντα τῶν
ἄλλων· οὔτε πόρρωθεν ἕλ-
κοντες καὶ βιαζόμενοι τῶν
ἔργων τὰς ὁμοιότητας· κα-
θάπερ οἱ τοῖς μύθοις ἐξη-
γούμενοι τῶν ποιητῶν· καὶ
ἀναλύοντες ἐς λόγους πι-
θανοὺς· καὶ ἐνδεχομένους τὰ
πλάσματα· ἐκ μικρᾶς πά-
νυ τῆς ὑπονοίας ὁρμώμενοι
καὶ ἀμυδρᾶς λίαν παραλα-
βόντες τὰς ἀρχὰς, πειρῶν-
ται ξυμπαθᾶν ὡς δὴ ταῦ-
τά τε αὐτὰ ἐκείνων ἐθελόντων
λέγειν· ἐνταῦθα εἴ τις ἐξέλοι
τῶν ὁμήρου μόνον τὰ τῶν
ἡρώων ὀνόματα ἐνθείη δὲ
τὸ βασιλέως καὶ ἐναρμόσοι,
οὐ μᾶλλον ἂν ἐκείνοις ἢ τοῦ-
τον πεποιῆσθαι δόξαι τὰ
ὑπὲρ τῆς ἰλιάδος ἔπη·
ἀλλ᾽ ὅπως μὴ τὰ ὑπὲρ τῶν
ἔργων μόνον ἀκούοντες καὶ
τῶν κατορθωμάτων ἐς τὸν

πόλεμον· ἔλαττον ἔχων ὑ-
πολαμβάνειν τε βασιλέα πε-
ρὶ τὰ σεμνότερα· καὶ ὡς ἄ-
ξιον μάλιστα ποιεῖσθαι λό-
γον· δημηγοριῶν φήμη καὶ
συμβουλιῶν· καὶ ὁ πόσα γνώ-
μη μετὰ νοῦ καὶ φρονήσεως
κατορθῶσαι, ἀθρᾶ τε ἐν ὀλί-
γοις καὶ μέγα φορεῖ τοῖς ἐπαινου-
μένοις κατὰ τὴν ποίησιν· καὶ
λώ τι μεῖζον ἐν βασιλεῖ κατα-
μανθάνητε, τοῖς ἐπαινέ-
ταις τοῦτο λογίζεσθε· πόλε-
μον δὲ ἔχοντα δικαίως αὐτὸν
μᾶλλον ἀποδεχοίμεθα· οὐ-
κοῦν ὁ μέν, ὁ πωικα χαλε-
παίνων, καὶ στασιάζειν ἤρχον-
το, περὶ τῆς αἰχμαλωτοῦ
κόρης λέγειν ἐπιχαρῶν· οὐ-
τω δὴ τι πάθῃ τὸν βασιλέα
καὶ τὸν τῆς Θέτιδος, ὥστε
ὁ μέν, ἀκόσμως διέλυσε τὸν
σύλλογον· ὁ δέ, οὐδὲ περὶ μά-
νας ἀφοσιώσασθαι τὰ πρὸς
τὸν θεόν· ἐπεὶ δὲ αὐτὰ δρῶν· καὶ
ἀφορῶν ἐς τὴν θεωρίδα· πέ-
μπει τοῖς κήρυξι, ἐπὶ τὴν Ἀ-
χιλλέως σκηνήν· ὥσπερ οἶμαι

πλοῖον ἡ θεωρίς· διοῦ
καὶ οἱ πεμπόμενοι ἐπὶ
τὰς ἀποδημίας θεοῖ-
τας ὑπὲρ τῆς πόλεως ἢ
καὶ ἐπὶ τοῖς ἱεροῖς ἀγῶ-
νας· καὶ τὰς ἄλλας πα-
νηγύρεις θεωροὶ ἐλέγοντο

Δεδιὼς μὴ τῆς ὀργῆς ἐπιλαθό-
μενος, καὶ ἀπαλλαγεὶς τοῦ πά-
θους μεταγνοίη καὶ ἀποφύγοι
τὴν ἁμαρτάδα· ὁ δὲ ἐκ τῆς Ἰ-
θάκης ῥήτωρ ὁ λύτροπος πά-
θαν ἐπὶ χαρίτων πρὸς διαλλα-
γὰς Ἀχιλλέα· καὶ δῶρα πολλὰ
δίδωσι μυρία δὲ ἐπαγγελόμε-
νος οὕτω τὸν νεανίσκον παρο-
ξύνει, ὥστε οὐ πρότερον βου-
λευσάμενος, τὸν ἀπόπλουν
παρασκευάζεται· ἐπεὶ δὲ αὐ-
τῷ τὰ θαυμαστὰ τῆς συνέσε-
ως δείγματα, αἵ τε ἐπὶ τὸν
πόλεμον παρακλήσεις καὶ
ἡ τειχοποιΐα τοῦ Νέστορος·
πρεσβυτικὸν λίαν καὶ ἄτο-
πον ἐπινόημα· οὐκοῦν οὐ-
δὲ ὄφελος ἦν πολὺ τοῖς Ἀ-
χαιοῖς τοῦ μηχανήματος·
ἀλλὰ ἡττῶντο τῶν Τρώων τὸ
τεῖχος ἐπιτελέσαντες· καὶ
μάλα εἰκότως· τότε μὲν γὰρ
αὐτοὶ τῶν νεῶν ὅσον τὸ προ-
βεβλῆσθαι καθάπερ ἔρυμα
γενναῖον· ἐπεὶ δὲ ᾔσθοντο
τὸ σφῶν προκείμενον καὶ ἀ-
ποικοδομούμενον τεῖχος·

τὰ φοβαθῆα καὶ πασ τάλλοις
ὀξέσι διωκούμενον, καὶ ἐρρα-
θύμοσιν· καὶ ὑφιέντο τῆς ἀλ-
κῆς τῷ τιχίσματι πεποι-
θότες· ἀλλ' οὐ γὰρ ἄν τις ἐκά-
μοις μέμφοιτο καὶ ἐπιδια-
κμυά δι' ἁμαρτάνοντας, οὐ-
τὸς ἐπὶ βασιλέως ἀξιόχρε-
ως ἐπαινέτης· ὅστις δὲ
οἶμαι τῶν ἔργων ἀξίως μνη-
σθάη· οὐ μάτην οὐδὲ αὐτο-
μάτως· οὐδὲ ἄλλως φορᾷ
γενομένων· προβουλευθέν-
των δὲ ὀρθῶς καὶ διοικηθέν-
των οὗτος ἀρχόντως ἐπαι-
νᾶν τῶ βασιλέως αἰχίμοιαν·
τὸ δὲ ἐφεκάστη συνόδῳ τὰς
δημηγορίας ἐκλέγειν ἐς τὰ-
στρατόπεδα καὶ δήμους καὶ
βουλευτήρια, μακροτέρας
δεῖται τῆς ξυγγραφῆς· ἐμοὶ
δὲ ἴσως ἐπακούειν οὐ χαλε-
πόν· καὶ μοι πάλιν ἐννοή-
σαντι τὸν λαέρτου· ὁ πότε
ὁρμωμένοις ἐκ πολλῶν τοὺς
ἕλληνας, ἐπέχει τῆς ὁρμῆς
καὶ ἐς τὸν πόλεμον μετατί-
θησι τὴν προθυμίαν· καὶ τοῦ

βασιλέως τὸν ἐν Ἰλλυριοῖς
ξύλλογον· ἅμα δὲ καὶ πρεσβευτοῖς
ἀνὴρ ὑπὸ Μαρακίων παιδι-
κὰ φονεὺς ἀναπειθόμενος, ὁ-
μολοπίων ἐπελανθάνετο
καὶ τοῦ θεοῦ· καὶ τὸν μὲν σωτῆ-
ρι καὶ εὐεργέτῃ, διὸ μέμνη-
ται· πομπὰς δὲ ἐποιεῖτο·
πρὸς ὃν ἐκείνῳ ἄσπονδος καὶ ἀ-
κήρυκτος βασιλεῖ πόλεμος·
στρατὸν δὲ ἤγειρε· καὶ ἐπὶ τοῖς
ὁρίοις ἀπαντῆσαι τῆς χώρας·
κωλῦσαι τοῦ πρόσω χώραν ἐ-
πιθυμῶν· ἐπεὶ δὲ ἔσται-
τὸ πλῆθος ἀμφοτέρω τοῖς
στρατεύμασι· καὶ ἐχρῆν ἐπὶ
τῶν πολιτῶν ποιεῖσθαι τὴν
ἐκκλησίαν· βῆμά τε ὑψηλὸν
ἤρετο· καὶ αὐτὸ περιέσχεν ὁ-
πλιτῶν δῆμος· καὶ ἀκοντι-
στῶν· καὶ τοξοτῶν· ἱππεῖς
τε ἐνσκευασάμενοι τοῖς ἵπ-
ποις· καὶ τὰ σημεῖα τῶν τα-
ξέων· ἀνῆψέ τε ἐπ' αὐτὸ βασι-
λεὺς μετὰ τοῦ πέως συνάρχον-
τος· οὔτε ἀχλὺν φέρων οὔτε
ἀσπίδα καὶ κράνος· ἀλλὰ ἐσθῆ-
τα τὴν συνήθη· καὶ οὐδὲ αὐτός

πὸς τῶν δορυφόρων ἅπτεται· μό-
νος δὲ ἐπὶ τοῦ βήματος ἅτε ἤκα
πεποιθὼς τῷ λόγῳ σεμνῶς ἡρ-
μοσμένῳ· ἐργάστης γὰρ ἐστὶ καὶ
τούτων ἀγαθός· οὐκ ἀποσμηλε-
ύων οὐδὲ ἀπομυχίζων τὰ ῥή-
ματα· οὐδὲ ἀποτορνεύοντας
περιόδους, καθάπερ οἱ κομψοὶ
ῥήτορες· σεμνὸς δὲ ἅμα καὶ
καθαρός· καὶ τοῖς ὀνόμασι ξω-
καιρῶς χρώμενος ὥσπερ ἐνδύε-
σθαι ταῖς ψυχαῖς, οὕτω παι-
δίας· καὶ ξυνέσεως μετα-
ποιουμένων μόνον· ἀλλ᾽ ἤδη
καὶ τῶν ἰδιωτῶν ξυνιέναι πο-
λλοῖς· καὶ ἐπαΐειν τῶν ῥημά-
των· οὐκοῦν ἦρα μυριάδας
ὁπλιτῶν συχνάς· καὶ χιλι-
άδας ἱππέων εἴκοσι· καὶ ἔθνη
τὰ μαχιμώτατα· καὶ χώραν
πάμφορον οὐ βίᾳ ἑλκῶν· οὐδὲ
αἱμαλοῖς τοῖς ἀγῶν· ἑκόντας
δὲ αὐτοῦ παθομένους· καὶ τὸ
ἐπιτασσόμενον ποιεῖν ἐθέλον-
τας· ταύτην ἐγὼ τὴν ῥητορικὴν κρί-
νω, τῆς λακωνικῆς μακρῷ σε-
μνοτέραν· ἡ μὲν γε ἦν ἀδακρίς
μόνον τοῖς κρατοῦσιν· ἡ δὲ, οὐ-

δὲ τοῖς κρατηθεῖσιν ἤνεγκε δά-
κρυα· ἀλλ' ἀπὸ τοῦ βήματος
κατῆλθεν· ὁ τῆς βασιλείας ὑ-
πὸ κριτῆς δικασάμενος· καὶ
ὥσπερ ὄφλημα βασιλεῖ πα-
τρῷον ἀποδοὺς τὴν ἀλουργίδα
τἆλλα δὲ αὐτὸς διδοὺς βασιλεῖ
ἄφθονα μᾶλλον, ἢ κῦρον φασὶ
παρασχεῖν τῷ πάππῳ· ζῆν
τε ἐπαινοῖς καὶ διαιτᾶσθαι· κα-
θάπερ ὅμηρος ἀξιοῖ τῶν ἀν-
δρῶν τοὺς ἀφελεστέρους· τοῦτο
γὰρ ἔοικε τό, ἐπιλοῦσαί τε φα-
γοῖτε ἀδεέμεναι μαλακῶς· ἡ
γὰρ δίκη ἐπὶ γερόντων· τὸ μὲν
ὅσων ἐμῶν· ἡδέως ἂν τοῖς ῥη-
θέντας λόγοις διεξῆλθον· καὶ
οὐκ ἄν με ὄκνος καταλάβοι, οὐ-
τω καλῶν ἁπτόμενον λόγων
αἰδὼς δὲ οἶμαι κατάργει· καὶ
οὐκ ἐπιτρέπει με τατίθεμαι
καὶ ἐξερμηνεύων ἐς ὑμᾶς τοῖς
λόγοις· ἀδικοίην γὰρ διαφθεί-
ρων· καὶ ἐλεγχόμενος αἰσχύνοι-
μην· εἶπον ἄρα τὸ βασιλέως
ἀναγνοὺς ξύγγραμμα· ἤ ποτε
ἀκούσας ἀπομνημονεύοι καὶ
ἀπαιτοίη· οὐ τὰ νοήματα

μόνον φράσαις δὲ ἄρα ἵππους ἐκά-
μα· κοσμᾶται κατὰ τὴν πατρί-
ον φορμὴν ζυγάμενα· τοῦτο δὲ,
οὐκ ἦν ὁμήρου· τὸ δ᾽ ἔπος πολλοῖς
μὲν ὕστερον γενεαῖς τοῖς λόγοις
διηγουμένων· λίπον τῶν δὲ ἐ-
κάμνων, οὐδὲν ὑπομνημάτων-
εἰς τοῖς ξυλλόγοις ῥηθέντων·
καὶ σαφῶς οἶμαι πιστεύοιν τι·
ὅτι ἄρα τὰ καμνῶν αὐτὸς ἐξαγ-
γελλᾶ καὶ διηγήσεται· τὸ δὲ ἐ-
πὶ χάρον μιμᾶσθαι, κατὰ γέλα-
στον καὶ οὐκ ἀξίον ἐλευθέρας τύ-
χης καὶ γενναίας· τὰ μὲν δὴ θαυ-
μαστὰ τῶν ἔργων· καὶ ὁ πᾶς ὁ
πολὺς ὅμιλος θεατής γε ἐ-
γένετο· καὶ διασώζει τὴν μνή-
μην ζωὴν εὐφημία· ἅτε ἐς τέ-
λος ἀφορῶν· καὶ τῶν εὖ ἢ κα-
κῶς ἀποβάντων κριτὴς κα-
θεστώς· καὶ ἐξαιρέτης οὐ μά-
λα ἀστάσος, ἀκηκοά τε πολλά-
κις τῶν μακαρίων σοφιστῶν
καὶ τοῦ ποιητικοῦ γένους· τῶν
αὐτῶν τῶν μουσῶν ἐπιπομέ-
μένου· ὥς τε ὑμᾶς τούτων
ἕνεκα καὶ διωχθήκαμεν· μακρο-
τέροις τοῖς ὕπερ αὐτῶν ποι-

ούμενοι λόγοις· καὶ γὰρ ἐστὲ λί-
αν αὐτῶν ἤδη διακορεῖς· καὶ
ὑμῶν ἔτι τὰ ὦτα πλήρη· καὶ
οὐ μήποτε ἐπιλίπωσιν οἱ
τούτων ποιηταὶ πολέμους
ὑμνοῦντες, καὶ νίκας ἀνα-
κηρύττοντες λαμπρᾷ τῇ φω-
νῇ κατὰ τοὺς ὀλυμπιάσι κη-
ρύκας· παρέχεσθε γὰρ ὑμᾶς,
τῶν ἀνδρῶν τούτων ἀφθονί-
αν· ἀσμένως ἐπακούοντες καὶ
οὐδὲν θαυμαστόν· εἰσὶ γὰρ αἱ
τούτων ὑπολήψεις ἀγαθῶν
περὶ κεφαλαίων ταῖς ὑμετέ-
ραις ξυγγενεῖς· καὶ ἀπαγγέ-
λουσι πρὸς ὑμᾶς, τὰ ὑμῶν
αὐτῶν διανοήματα ὥσπερ
ἐσθῆτι ποικίλῃ τοῖς ὀνόμα-
σι σκιαγραφήσαντες· καὶ δια-
πλάσαντες ἡδίστοις ῥυθμοῖς
καὶ σχήμασιν· ὡς δή τι καινὸν
εὑρόντες εἰς ὑμᾶς φέρουσιν·
ὑμᾶς δὲ ἀσμένοι παραδέχεσ-
θε· καὶ ἐκείνους οἴεσθε ὀρθῶς
ἐπαινεῖν· τούτοις τε ἀποδίδο-
σθαι τὸ προσῆκον φατέ· τὸ δὲ
ἐστὶ μὲν ἴσως ἀληθές· τυχὸν δὲ καὶ
ἄλλως ἔχει ἀγνοούμενον πρὸς

ἡμῶν ὁπόσοι ποτὲ ἂν ὀρθῶς
γίγνοιτο· ἐπεὶ καὶ τὸν ἀθηναῖ-
ον ἐμνημόνησα σωκράτην ἴστε δὲ
ὑμεῖς ἀκοῇ τὸν ἄνδρα καὶ τὸ
ἐπ' αὐτοῦ κλέος τῆς σοφίας
παρὰ τῆς πυθίας ἐκβοηθέν·
οὗτ' αὐτὸν εὐδαιμονοῦντα οὐ-
δὲ εὐδαίμονας καὶ μακαρί-
ους ὁμολογοῦντα τοὺς πολ-
λὴν κεκτημένους χώραν· πολ-
λὰ δὲ ἔθνη καὶ ἐν αὐτοῖς· πολ-
λοὺς μὲν ἑλλήνων πλείους δὲ
ἔτι καὶ μείζους βαρβάρων· καὶ
τὸν ἄθω διορύττειν δυναμέ-
νους· καὶ σχεδίαις τὰς ἠπείρους,
ὅπως ἂν ἐθέλωσι διαβαίνειν,
συνάπτοντας· καὶ ἔθνη κατα-
στρεφομένους· καὶ ἀνδραποδιζομένους νή-
σους καὶ σαγηνεύοντας· καὶ λί-
βανον τοῦ χίλια τάλαντα κα-
ταθύοντας· οὔτε αὐτὸν ξέρ-
ξην ἐκεῖνον ἐπήνεσέ ποτε, οὔ-
τε ἄλλον τινὰ περσῶν ἢ λυ-
δῶν ἢ μακεδόνων βασιλέα·
ἀλλ' οὐδὲ ἑλλήνων στρατηγὸν
πλὴν σφόδρα ὀλίγων ὁπό-
σοις ἠγάσατο χαίροντας ἀ-
ρετῇ καὶ ἀσπαζομένους ἄνδρα-

ἂν μετὰ σωφροσύνης καὶ φρο-
νήσεων μετὰ δικαιοσύνης στερ-
γόντας· ὅσοις δὲ ἀρχαίοις
ἢ δημοσίοις ἢ στρατηγικοῖς· ἢ κομ-
ψοῖς· καὶ τῷ πλήθει τοῖς θα-
μοῖς ἑώρα· σμικρὰ τὰ μόρια
κατατμημένοις ἀρετῆς· οὐ-
δὲ τούτοις εἰς ἅπαντα ἐπή-
νεσε· ἕπεται δὲ αὐτοῦ τῇ κρίσει,
σοφῶν ἀνδρῶν δῆμος· ἀρε-
τὴν θεραπεύοντες· τὰ κλῖμα
δὲ οἶμαι ταῦτα καὶ θαυμαστὰ,
οἱ μὲν, ὀλίγου τίνος οἱ δὲ, οὐ-
δενὸς ἄξια λέγοντες· εἰ μὲν
οὖν καὶ ὑμῖν ταύτῃ ποιζω
δοκεῖ· δέος οὐδὲ φαῦλον μὲ ἔ-
χει περὶ σοῦ ἔμπροσθεν λόγων
καὶ ἐμαυτοῦ, μήποτε ἄρα τοὺς
μὲν παῖδας ἀποφήνῃ· σοφι-
στὴν δὲ ἐμὲ τέλειον καὶ ἀμαθῆ
μεταποιούμενον τέχνης·
ἧς σφόδρα ἀπείρως ἔχειν ὁμο-
λογῶ· ὥστε μοι πρὸς ὑμᾶς
ὁμολογητέον ἐστί· τοῖς ἀλη-
θέσι ἐπαίνοις διεξιόντι
καὶ συνακούειν ὑμῖν ἄξιον
οἴεσθε· εἰ καὶ ἀγροικότεροι καὶ
ἐλάττους μακρῶν τῶν ῥηθέντων

τοῖς πολλοῖς φαίνοιντ' ἄν. εἰ-
δὲ ὥσπερ ἔμπροσθεν ἔφην, ἀ-
ποδέχεσθε τοὺς ἐκ νέων ποι-
ητάς, ἐμοὶ μὲν ἅπαντα· τὸ
δὲ δὴ μάλα. οὐ γὰρ πάντα
ὑμῖν ἄτοπος φανοῦμαι. ἀ-
λλὰ πολλῶν μὲν οἶμαι φαυλό-
τερος· κατ' ἐμαυτὸν δὲ ἐξετα-
ζόμενος. οὔπω τὰ πᾶσιν
ἀπόβλητος· οὐδὲ ἀπὸ ποιοῖς
ἐπιχάρων ὑμῖν δὲ ἴσως, οὐ-
ῥάδιον σοφοῖς καὶ θείοις ἀ-
πιστεῖν ἀνδράσιν· οἳ δὴ λέγου-
σι πολλὰ μὲν ἕκαστος ἴδια. τὸ
κεφάλαιον δὲ ἐστὶ τῶν λόγων
ἀρετῆς ἔπαινος· ταύτην δὲ
τῇ ψυχῇ φασὶν ἐμφύεσθαι καὶ
αὐτὴν ἀποφαίνειν εὐδαίμονα
καὶ βασιλικήν· καὶ μὰ Δία
πολιτικήν· καὶ στρατηγικήν,
καὶ μεγαλόφρονα· καὶ πλουσί-
αν τῷ ἀληθῶς· οὔτε Κολοφώνι-
ον ἔχουσαν χρυσίον· οὐδ' ὅσα
λάϊνος οὐδὸς ἀφήτορος ἐν-
τὸς ἐέργει τὸ πρὶν ἐπ' εἰρήνης
ὅτε ἦν ὀρθὰ τὰ τῶν Ἑλλήνων
πράγματα· οὐδὲ ἔθνη τὰ
πολυτελῆ· καὶ ψήφοις ἰνδι-

κας· καὶ γῆς πλέθρων μυριά-
δας πάνυ πολλάς· ἀλλ' ὅ-
παντων ἅμα τούτων, καὶ κρά-
τιον καὶ θεοφιλέστερον· ὃ καὶ ἐν
ναυαγίοις ἔνεστι διασώσασθαι.
καὶ ἐν ἀγορᾷ καὶ ἐν δήμῳ· καὶ
ἐν οἰκίᾳ καὶ ἐπ' ἐρημίαις· ἐν
λῃσταῖς μέσοις· καὶ ἀπὸ τυ-
ράννων βιαίων· ὅλως γὰρ οὐ-
δὲν ἐστὶν ἐκείνου κράτιον· ὃ
βιασάμενον καθέξει, καὶ κατα-
φαιρήσεται τὸν ἔχοντα ἅπαξ·
ἔστι γὰρ ἀτεχνῶς ψυχῆς τὸ κτῆ-
μα τοῦτο τοιοῦτον, ὁποῖον εἶ-
ναι τὸ φῶς ἡλίου· καὶ γὰρ δὴ
τοὺς νεὼς μὲν καὶ ἀναθήματα
πολλοὶ πολλάκις ὑφελόμενοι
καὶ διαφθάραντες ᾤχον-
το· δόντες μὲν ἄλλοι τὴν δίκην·
ἄλλοι δὲ ὀλιγωρηθέντες ὡς οὐ-
κ ἄξιοι κολάσεως τὰς ἐπανορθώ-
σιν φερόμενοι· τὸ φῶς δὲ οὐ-
δὲν αὐτὸν ἀφαιρεῖται· οὐδὲ ἐν
ταῖς συνόδοις ἡ σελήνη τὸν
κύκλον ὑποτρέχουσα· οὐ-
δὲ τὰς αὐτὰ δεχόμενοι τὴν ἀκτῖ-
να· καὶ ἡμῖν πολλάκις τοῦ-
το δὴ τὸ λεγόμενον ἐν μεσημβρίας

νύκτα δακρύουσα· ἀλλ' οὐδὲ αὐ-
τὸς αὐτὴν ἀφαιρεῖται φωτὸς
τὴν σελήνην· ἐξεναντίας ἱστα-
μένην περιλάμπων καὶ μετα-
δίδωσιν αὐτῇ τῆς αὐτῆς φύσεως.
οὐδὲ τὸν μέγαν καὶ θαυμαστὸν τοῦ-
τον κόσμον ἐμπλήσας αὐτὴν
καὶ ἡμέρας· οὐκοῦν οὐδὲ ἀνὴρ
ἀγαθὸς ἀρετῆς μεταδιδοὺς ἄλ-
λοις, τῷ μεταδοθέντι μεῖον ἔ-
χων ἐφάνη ποτέ· οὕτως θεῖον
ἐστὶ κτῆμα καὶ πάγκαλον· καὶ οὐ
ψευδὴς ὁ λόγος τοῦ ἀθηναίου
ξένου· ὅς τίς ποτε ἦν ἄρα
ὁ θεῖος ἐκεῖνος ἀνήρ· πᾶς γὰρ
ὅ τε ὑπὸ γῆς καὶ ἐπὶ γῆς χρυ-
σὸς, ἀρετῆς οὐκ ἀντάξιος· θα-
ῤῥοῦντες οὖν ἤδη πλούσιον κα-
λῶμεν, τὸν ταύτην ἔχοντα· οἶ-
μαι δὲ ἔγωγε καὶ εὐγενῆ καὶ βασι-
λέα μόνον τῶν ἁπάντων, ἅ-
πασι ξυνδοκῶ· κράτιστον μὲν
εὐγενῆ, φαυλότητος γένους·
κράτιστον δὲ ἀρετῇ διαθέσεως,
οὕτως ἂν τῇ σπουδαίας καὶ μή τις
οἰέσθω τὸν λόγον· δύσεριν καὶ
βίαιον, εἰς τὴν συνήθειαν ἀ-
φορῶν τῶν ὀνομάτων φασί

γὰρ οἱ πολλοὶ τοὺς ἐκ παλαι-
πλουσίων εὐγενεῖς· καὶ τοὺς ὡς
οὐκ ἀπὸ τῶν, μαγάρων μὲν ἠσ-
κῦτεα· καὶ ναὶ μάδια κεραμέ-
τινα· χρήματα ἐκ τῆς τέχνης
ἢ καὶ ἄλλοθεν πόθεν ἀθροίσαν-
τα μὴ δοκεῖν εὐγενῆ· μηδὲ ὑ-
πὸ τῶν πολλῶν ἐπονομά-
ζεσθαι τοῦτο τὸ ὄνομα· εἰ δὲ
ὁ τούτου παῖς διαδεξάμε-
νος τὸν κλῆρον τοῖς τοῖς ἐκγό-
νοις διαπορθμεύσειε· τού-
τοις δὲ ἤδη μεταφορὰν· καὶ
τοῖς Πελοπίδαις, ἢ τοῖς
Ἡρακλείδαις ὑπὲρ τῆς εὐ-
γενείας ἁμιλλᾶσθαι· ἀλλ' οὐ
διὰ τῶν προγόνων ἀγαθῶν
ἔφυ· αὐτὸς δὲ ἐπὶ τὴν ἐναν-
τίαν τοῦ βίου ῥοπὴν κατη-
μέλητη, δίκαιος ἂν μεταποι-
εῖτο, τῆς πρὸς ἐκγόνους ξυγ-
γενείας· μηδὲ τοὺς Πελο-
πίδας ἐξῆν ἐγγράφεσθαι τοὺς
μὴ φέροντας ἐπὶ τῶν ὤμων
τοῦ γένους τὰ γνωρίσματα· λόγ-
χη δὲ λέγεται περὶ τῶν Βοιωτί-
αν, τοῖς Σπαρτιάταις ἐν τῷ
σωθῆναι, περὶ τῆς πεκοιόνης

καὶ τρεψαμένης αὐτὴν βόλου.
καὶ τὸ ἐν τεῦθεν ἐπὶ πολὺ δια-
πορθῆναι τοῦτο τῷ γένει σύμ-
βουλον· ἐπὶ δὲ τῶν ψυχῶν,
οὐδὲν οἰόμεθα δεῖν ἐγκεχαρά-
χθαι τοιοῦτον· ὃ τοῖς πατέ-
ρας ἡμῶν ἀκριβῶς κατερεῖ.
καὶ ἀπελέγξει γνήσιον τὸν
τόκον· ὑπάρχειν δὲ φασὶ καὶ
κελτοῖς ποταμὸν, ἔλεγχον
κρίσιν τῶν ἐκγόνων· καὶ οὐ-
πω βοῶσιν αὐτὸν οὔτε αἱ μητέρες
ὀδυρόμεναι οὐκ ἀλύπως ταῦ-
τα· καὶ ὑποκρύπτειν τὴν ἁ-
μαρτάδα, οὔτε οἱ πατέρες ὑ-
πὲρ τῶν γαμετῶν καὶ τῶν
ἐκγόνων ἐπὶ τῇ κρίσει δειμαί-
νοντες· ἀτρεχὴς δέ ἐστι καὶ
ἀψευδής. ἡ μὲν δὲ δεκάζει-
μεν πλοῦτος· δεκάζει δὲ ἰσ-
χὺς καὶ ὥρα σώματος· καὶ
δυναστεία προγόνων, ἔξωθεν
ἐπισκιάζουσα καὶ οὐκ ἐπι-
τρέπουσα διορᾶν· οὐδὲ ἀπο-
βλέπειν ἐς τὴν ψυχήν. ἧπερ
δὴ τῶν ἄλλων ζώων διαφέ-
ροντες, ἀκόλουθον ἂν κατὰ ταὐτὸ
τὴν ὑπὲρ τῆς εὐγενείας ποι-

οἰόμεθα κρίσιν· καὶ μορμολυκοῦ-
σιν εὐτυχίᾳ φύσεως οἱ πάλαι
θαυμαστοῖς χρώμενοι· καὶ οὐ-
κ ἐπίκτητον ὥσπερ ἡμεῖς ἔ-
χοντες τὸ φρονεῖν· οὔτε πλα-
στῶς ἀλλ' αὐτοφυῶς φιλοσοφοῦν-
τες, τοῦτο καταμονῆσαι· καὶ
τὸν ἡρακλέα τοῦ διὸς ἅμα
πάντων ἔκγονον· καὶ τοὺς τῆς λή-
δας — ιεε: μίνω τε οἶμαι τὸν
νομοθέτην καὶ ῥαδάμανθυν
τὸν κρήσιον, τῆς αὐτῆς ἀξι-
ῶσαι μνήμης· καὶ ἄλλους δὲ
ἄλλων ἐκγόνους ἀνεκήρυττον
πολλοὺς διαφέροντας τῶν
φύσει πατέρων· ἔβλεπον γὰρ ἐς
τὴν ψυχὴν αὐτῶν καὶ τὰς πρά-
ξεις ἀλλ' οὐ κἂν πλοῦτον βα-
θὺν καὶ χρόνον πολύν· οὐδὲ
διαστῆσαι ἐκ παππῴων τι-
μῶν καὶ ἐπὶ πάππων ἐς
αὐτοὺς ἥκουσαν καὶ τοῖς τε ὑπὸ τύ-
χης οὐ πᾶσαν τὴν πᾶσιν ἀδό-
ξων γενέσθαι πρόσω· ἀλλὰ διὰ
τὴν ὑπερβολὴν ἧς ἐπιτηδεύοντες
καὶ ἐθεράπευον ἀρετῆς αὐ-
τῶν ἐνόμιζον τῶν θεῶν
παῖδας δίκαιον δι' ἐνθένδε·

∴ ἄλλων ∴

# ἈΡΙΣΤΕΙΔΟΥ ΚΟΙΝΤΙΛΙΑΝΟΥ ΠΕΡΙ ΜΟΥΣΙΚΗΣ

εἰ μὲν ἐμοὶ θαυμάζειν ἔπεισιν· ὦ τιμιώτατοί μοι ἑταῖροι εὐσέβιε καὶ φλωρέντιε, τὴν τῶν παλαιῶν φιλοσόφων περὶ ἅπαν μάθημα σπουδήν· καὶ ὡς τὰ μὲν αὐτοὶ παρ' αὑτῆς εὑρίσκοντες· τὰ δὲ ἄλλοις τισὶν εὑρήματα παρειληφότες, εἰς τέλος τε τὸ προσῆκον ἐξεπόνησαν· καὶ τοῖς λοιποῖς ἀφθόνως τὴν ἀπ' αὐτῶν ὠφέλειαν ἔδειξάν τε καὶ παρέδωκαν· πολὺ δὲ μάλιστα τῶν ἀνδρῶν ἄγαμαι τὴν μεγαλονοίαν· ἡνίκ' ἂν συνήθως τοὺς περὶ μουσικῆς λόγους· πρὸς ἀλλήλους ποιώμεθα· οὐ γὰρ τῶν ἐπιτυχόντων παρὰ σοφοῖς, τὸ ἐπιτήδευμα· ὡς πολλοὶ τῶν τοῦ πράγματος ἀπείρως ἐχόντων· καὶ μάλιστα τῶν νῦν, ὑπενόησαν· ἀλλὰ καὶ καθ' αὑτὴν ὑπερέχει, τίμια· καὶ ὡς πρὸς τὰς λοιπὰς ἐπιστήμας χρήσιμος ἀρχῆς· καὶ σχεδὸν εἰπεῖν τέλους ἐπέχουσα λόγον, ὑπερφυῶς ἐθαυμάζετο· ἐμοὶ δὲ μάλιστα τῆς τέχνης κἀκεῖνο ἴδιον ἀγαθὸν συνορᾶται·

οὐ γὰρ ὡς αἱ λοιπαί, περὶ μίαν ὕλην
πραγμάτων, ἢ περὶ χρόνου διάστημα μι-
κρὸν χρησιμεύουσα, θεωρεῖται· ἀλλὰ πᾶσαν
μὲν ἡλικίαν καὶ σύμπασαν βίον· ἅπασαν
δὲ πρᾶξιν, μουσικὴ μόνη, τελέως ἂν κα-
τακοσμήσειεν· γραφικὴ μὲν γὰρ καὶ αἱ τοι-
αῦται πᾶσαι· τὸ πρὸς ὄψιν μετιοῦσαι
καλόν, σμικρὸν μέρος ὠφελείας εἰσφέρον-
ται· καὶ πᾶσιν ἐκ καταλήψεως λεγόμεναι,
οὐδὲ μίαν εἰς τὸν ἑξῆς χρόνον, γνώσεως
ποικίλης ἐπίδοσιν ἐμφαίνουσιν· ἰα-
τρικὴ δὲ καὶ γυμναστική· τῶν μὲν ὠφε-
λειῶν, περὶ σῶμα εἰσφέρουσι· τοῖς δὲ
ἐκ μαθήσεως ἀγαθοῖς· ἀδύνατοι τοῖς ἐκ
παίδων ὠφελῆσαι τοὺς πλησιάζοντας·
διαλεκτικὴ δέ· καὶ ἡ ταύτης ἀντίστροφος
ψυχὴν μὲν ὤνησαι πρὸς φρόνησιν εἰ μου-
σικοὶ παραλάβοιεν κεκαθαρμένην· ἄνευ
δὲ ταύτης ῥυθμὸν οὐκ ὤνησεν· ἐσθ᾽ ὅ-
που δὲ καὶ διέφθειρε· μόνη δὲ ἡ προ-
κειμένη διὰ πάσης ὡς εἰπεῖν ὕ-
λης παρατείνεται· καὶ διὰ παν-
τὸς διήκει χρόνου· ψυχὴν τε κοσμοῦ-
σα· κάλλεσιν ἁρμονίας· καὶ σῶμα
καθιστᾶσα ῥυθμοῖς εὐπρεπέσι· παι-
σί τε πρόσφορος τοῖς ἐκ μελῳδίας
ἀγαθοῖς· καὶ προϊοῦσι τὰ τῆς
ἐμμέτρου λέξεως· καὶ ἁπλῶς λόγου

σύμπαντος, παραδιδοῦσα κάλλη·
ποιοῦσαν δὲ τήν τε τῶν ἀριθμῶν ἐ-
ζητουμένην φύσιν· καὶ ἀναλογιῶν ποι-
κιλίας· ἁρμονίας δὲ τὰς τούτων, ἐν
πᾶσι σώμασιν ὑποφέρουσα· τὸ μέ-
γιστον δὴ καὶ τελεώτατον· καὶ περὶ τοῦ διό-
καταληπτοῦ πᾶσιν ἀνοῖς ψυχῆς· πεισ-
τε καθέκαστον· ἢ δὴ δεκάι τῆς τοῦ παντὸς,
λόγοις ἔχουσα παρασχέσθαι. μαρτυρεῖ·
δέ μοι καὶ θεῖος λόγος ἀνδρὸς σοφοῦ πα-
μακέω τοῦ πυθαγορείου· ὅς φησιν ἔργον
εἶναι μουσικῆς οὐ τὰ φωνῆς μέρη μό-
νον συνιστάναι πρὸς ἄλληλα· ἀλλὰ πάν-
θ' ὅσα φύσιν ἔχει συνάγειν τε καὶ συναρ-
μόττειν· τούτων μὲν καὶ ὕστερον ἀπο-
δείξεις ἔσται σύμπροιον τι τῷ λόγῳ·
ἐμοὶ δ' ἐπῄρει ἐπιχειρῆσαι τῷ συγ-
γράμματι· μάλιστα μὲν ἡ τῶν πλείστων
περὶ τὸ πρᾶγμα ὀλιγωρία· ἐπιδεῖξαι
προῃρημένον οἷον μάθημα, οὐ προσή-
κοντος· διὰ ἀτιμίας ἄγουσι· τῶν
γὰρ ἄλλων ἤτοι διὰ τὸ διὸ χρεῖος ὡς ἰα-
τρικοῖς ἢ διὰ τὸ τοῖς πολλοῖς ἀπερ-
πέσως γεωμετρίας ἠμελημένων· κα-
τοῦ δ' ἑτέρου τούτων τῆς μουσικῆς ἀ-
φεκτέον· οὔτε γὰρ πολλὴν ἐπιφαίρει τὴν,
διὰ χολίαν· οὔτ' ἄνευ συμμέτρου πρ-
ξεως· τοῖς μετιοῦσι πλησιάζει· ἀλ-

λεν ἔτι καὶ διὰ τα χοις ὠφεληθῆναι τοῖς
φιλοπόνοις· καὶ δόξαν ἢν ἔνδοξον καὶ οὐ
μετρίαν καρπώσασθαι· καὶ τοῖς ἐν
μὲν ταῖς ἄλλαις τέχναις ἑπομένης,
ἀλλοιόπερ αὐτῷ διὰ τῶν τῆς χρείας πρὸς
παραμυθίαν· τοῖς δὲ κατὰ μουσικὴν
ἀσκουμένοις· ἐν αὐτῷ τῷ πόνῳ καὶ
τῆς ῥᾳστώνης, παραπεπηγυίας· οὐ
χείρω τῆς κατὰ τὴν γνῶσιν ὠφελεί
ας τὴν εὐθυμίαν ἐπιφέρουσα· οἱ δὲ
πολλοί, καὶ ταῦτα παροῦσαν ἐνθεῖναι
τῆς ἐξ ἀργίας καὶ ἀπαιδευσίας ἡδο
νήν, τῆς μετὰ λόγου καὶ ὠφελείας
προτιμήσαντες· ἀλλὰ μὴν καὶ δι' ἐ
κείνους· οἱ περὶ μὲν τὴν τέχνην οὐ μι
κρὸν ἔρωτα εἰσενεγκάντο· τῷ δὲ μὴ
σύμπαν αὐτῆς μέρος μετειληφέναι· οὐ
τι σεμνόν τι μετέδωκαν τοῖς πλησι
άζουσιν· αὐτοί τε οὐδ' ἑνὸς ἐπαίνου
παρ' αὐτῶν, διὰ μουσικὴν ἠξιώθη
σαν· ἐπεὶ μὴν καὶ διὰ τὸ μηδένα σχε
δὸν εἰπεῖν τῶν παλαιῶν ἐν τέλει,
τοῖς περὶ αὐτῆς λόγοις μίαν καταβα
λέσθαι πραγματείαν· ἀλλὰ κατὰ μέρος
ἕκαστον καὶ διεσπαρμένως περιττῶν
ἐξηγήσασθαι· καὶ τὰς μὲν πλείστας
ἀρχὰς αὐτῆς καὶ φυσικὰς αἰτίας
σεσιωπήκεναι· αὐτοῦ δὲ τοῦ περὶ τὴν

τεχνολογίαν· καὶ τὴν τῶν μελῶν χρῆσιν·
τὴν σπουδὴν καταπεπεῖσθαι· ἀλλὰ προ-
οιμίων μὲν ἅλις· ἤδη δὲ καὶ ἡμῖν ἐκ πόν-
του προσωθεῖν, Μούσαις γε τὴν κατὰ γά-
μον καλέσαμένοις· τοῖς μὲν γὰρ ποιη-
ταῖς· καὶ ταῦτα μηδὲν μουσικῆς πέρι
διαπονουμένοις μικρῷ δέ τινι ταύτης
μορίῳ πράξεων παλαιῶν ἀφήγησιν
ποιουμένοις, Μοῦσαι τε καλοῦνται καὶ
Ἀπόλλων Μουσῶν ἐπιστάτης· ἡμῖν
δὲ τοῖς οὐ διὰ μέρους μουσικῆς παλαι-
οῖς μύθοις διηγησομένοις· ἀλλὰ τὴν
τε σύμπασαν ἥ τίς καὶ ὁποία ποτ᾽ ἐ-
στι παραστῆσαι πειρωμένοις· καὶ πᾶ-
σαν μὲν ἰδέαν αὐτῆς, τὴν ἐν φωνῇ· πᾶ-
σαν· δὲ τὴν ἐν σώμασιν, ὑπόστασιν δη-
λῶσαι πραγματευομένοις· ἐπεὶ δὲ οἱ
τινὲς πρὸς ἀριθμοὺς σχέσεις· καὶ τό,
τε τιμιώτατον τῶν ἐν ἡμῖν τὴν ψυ-
χήν, λόγοι τυγχάνουσιν ὁμοιότητος·
πρὸς δὲ τούτοις, οἷα τὶς ἂν ὁδῷ χρώμε-
νος· καὶ περὶ τοῦδε τι τοῦ παντὸς, οὐ-
κ ἀμούσως ἀναπέφηνε τό· τίνα πρῶ-
τον συλλήπτορα τῶν τηλικούτων προ-
σήκει καλεῖν· ἢ οὐχὶ τὸν, ἅπαν μὲν, τό-
δε τὸ ὁρώμενον ἀοράτοις τέχναις ἁρ-
μοσάμενον· πᾶσαν δὲ ψυχὴν ἁρμο-
νίας λόγοις τελεώτατα τεχνησάμε-

νου· εἴτε δημιουργὸν ὀνομάζειν θέ-
μις ἐξ ὧν εἰργάσθαι καλῶς θέμε-
νος τὴν προσηγορίαν· εἴτε εἶδος
καλεῖν ἐπ᾿ ἀγαθοῖς· ἐξ οὗ παρέσχε τοῖς
μετ᾿ αὐτὸν δυνάμεις ἀνοῖς σημαίνον-
τος· εἴτε τοίνυν λόγον εἴθ᾿ ἑνάδα ὡς ἄν-
δρες θεῖοι καὶ σοφοί, λόγον ἐνιαῖον κα-
λεῖν ἐστὶν, ἐπὶ τυγχάνοντας· τῶν μὲν
ὡς πάντας ἁρμόττειν καὶ κατα-
κοσμεῖν, δηλοῦντας· τῶν δὲ ἐμ-
φέροντας, ὡς πολλὰ τὰ ὄντα καὶ
διαφερόμενα πάντας, δι᾿ ὁμοίοις ἀ-
λύτοις ἐν ἑνὶ συλλαμβάνων ἔχει· τοῦτον
δὴ καλῶμεν καὶ εὐχώμεθα· πᾶσαν
μὲν ἡμῖν μειαιων κατάληψιν ὑπουρ-
γεῖν· πᾶσαν δὲ τοῦ περὶ τῶν προκει-
μένων εἰπεῖν ἐπαξίως ῥᾳστώνην
προξενεῖν· καὶ ταῦτη μὲν ἀρκούντως
ηὔχθω· ἤδη δὲ ἀρχώμεθα τοῦ λόγου·
περὶ πάσης μουσικῆς· ὡς περιτυ-
χόμεθα· ποιούμενοι παράδοσιν·

Μουσική ἐστιν, ἐπιστήμη μέλους καὶ
τῶν περὶ μέλος συμβαινόντων· ὁ-
ρίζουσι ταύτην καὶ ὧδε, τέχνη θε-
ωρητικὴ καὶ πρακτικὴ τελείου μέ-
λους καὶ ὀργανικοῦ· ἄλλοι δὲ οὕτως,
τέχνη πρέπον τοῖς ἐν φωναῖς καὶ

κίνησιν· ἡ μὲν δέ, τελειώτερον ἀκολου-
θως τε τῇ προθέσει, γνῶσις τοῦ πρέ-
ποντος, ἐν σώμασί καὶ κινήσεσιν· ἐ-
πιστήμην μὲν οὖν ἐστιν, ἡ γνῶσις ἀσφα-
λὴς ὑπάρχη καὶ διάπτωτος· τῶν
γὰρ ἐν αὐτῇ λεγομένων, ἤτοι, προβλη-
μάτων· ἤτοι ἀποτελεσμάτων· οὐ-
κἂν ποτε μεταβολὴν ἢ ἀλλοίωσιν ἐ-
πιδέξεται· καὶ μὴν καὶ τέχνην αὐτὴν
εὐλόγως ἂν ἀποκαλοῖμεν· σύστημά τε
γάρ ἐστιν ἐκ καταλήψεων· καὶ τούτων
ἐπ' ἀκρίβειας ἠσκημένων· καὶ οὐκ ἄ-
χρηστος τῷ βίῳ ὡς οἱ παλαιοὶ διέγνω-
σαν· καὶ ὁ παρ' ἡμῶν ἐπιδείξει λόγος·
τελείου δὲ μέλους εἰκότως· χρὴ γὰρ καὶ
μελῳδίαν θεωρεῖσθαι καὶ ῥυθμὸν καὶ
λέξιν, ὅπως ἂν τὸ τέλειον τῆς ᾠδῆς
ἀπεργάζηται· περὶ μὲν γὰρ μελῳ-
δίαν ἁπλῶς ἡ ποιὰ φωνή· περὶ
δὲ ῥυθμὸν ἡ ταύτης κίνησις· περὶ
δὲ τὴν λέξιν· τὸ μέτρον· τὰ δὲ περὶ
μέλος τέλειον συμβαίνοντα· κίνη-
σις φωνῆς τε καὶ σώματος· ἔτι δὲ
χρόνοι· καὶ οἱ ἐκ τούτων ῥυθμοί· τὸ δὲ
τοῦ πρέποντος εἶναι τέχνην· οὐκ ἀ-
πεικότως· πᾶν γὰρ εὐκαταφρόνητον,
τὸ τοῦ πρέποντος ἐστερημένον· πρέ-
πον γάρ ἐστιν καλῶν καὶ αἱρετῶν· ἡ-

τοῖς μὴ φαύλοις κόσμου μεταδιδοῦσα·
ἡ πρὸς ἄλληλα συμφωνία· θεωρητι-
κὴν δ' αὐτήν, ἀποφαίνονται καὶ πρακτι-
κήν· διὰ τοιάσδε αἰτίας· ἔοικε μὲν γὰρ
τὰ μέρη τὰ ἑαυτῆς ἐπισκοπεῖν· καὶ πε-
ρὶ τὴν διαίρεσιν καὶ τεχνολογίαν διαλέ-
γεται, θεωρεῖν αὐτὴν λέγουσιν· ἡνί-
κα δ' ἂν κατ' αὐτὰ ἐνεργῇ μελοποιοῦσα
χρησίμως καὶ πρεπόντως, πράτ-
τειν αὐτὴν ἀποφαίνονται, ὕλη δὲ μου-
σικῆς, φωνὴ καὶ κίνησις σώματος· τὴν
δὲ φωνὴν οἱ μὲν· ἀέρα πεπληγμένον·
οἱ δὲ ἀέρος πληγὴν ἔφασαν· οἱ μὲν, αὐτὸ
τὸ σῶμα τὸ πεπονθός, ἦχον· οἱ δ' ὅπερ
ἄμεινον τὸ τούτου πάθος ὁρισάμενοι·
ἡ δὲ δὴ κίνησις, ὑφέστηκεν ἐν διαφόροις
χρόνοις· χρόνος γάρ ἐστι μέτρον κινή-
σεως· τῆς δὲ κινήσεως, ἡ μὲν ἁπλῆ
πέφυκεν· ἡ δέ, οὐχ ἁπλῆ· καὶ ταύτης
ἡ μὲν συνεχής· ἡ δὲ διαστηματική· ἡ δὲ
μέση· συνεχὴς μὲν οὖν ἐστι φωνή, ἣ τὰς
τε ἀνέσεις καὶ τὰς ἐπιτάσεις λελη-
θότως διὰ τάχους ποιουμένη· δια-
στηματικὴ δέ, ἣ τὰς μὲν τάσεις, φανε-
ρὰς ἔχουσα· τὰ δὲ τούτων μέτρα, λε-
ληθότα· μέση δέ, ἡ ἐξ ἀμφοῖν συγκειμέ-
νη· ἡ μὲν οὖν συνεχής ἐστιν ᾗ διαλεγό-
μεθα· μέση δέ, ᾗ τὰς τῶν ποιημά-

τῶν ἀναγνώσεις ποιούμεθα· διαστηματικὴ δὲ· ἡ κατὰ μέσον τῶν ἁπλῶν φωνῶν τὰ ποσὰ ποιουμένη διαστήματα· καὶ μονὰς ἥτις καὶ μελωδικὴ καλεῖται· τῆς δὲ πάσης μουσικῆς τὸ μέν τι θεωρητικὸν καλεῖται· τὸ δὲ πρακτικόν· καὶ θεωρητικὸν μὲν ἐστὶ, τό τε τοὺς τεχνικοὺς λόγους, αὐτῆς, καὶ τὰ κεφάλαια καὶ τὰ τούτων μέρη διαγινῶσκον· καὶ ἔτι τὰς ἄνωθεν ἀρχὰς, καὶ φυσικὰς αἰτίας, καὶ πρὸς τὰ ὄντα συμφωνίας ἐπισκεπτόμενον· πρακτικὸν δὲ, τὸ κατὰ τοὺς τεχνικοὺς ἐνεργοῦν λόγους· καὶ τὸν σκοπὸν μεταδιῶκον, ὃ δὴ καὶ παιδευτικὸν καλεῖται· τὸ μὲν οὖν θεωρητικὸν, εἴς τε τὸ φυσικὸν καὶ τεχνικὸν διαιρεῖται· ὧν τοῦ μὲν φυσικοῦ· τὸ μὲν ἐστὶν ἀριθμητικὸν τὸ δὲ ὁμώνυμον ὥπερει· ὃ καὶ περὶ τῶν ὄντων, διαλέγεται· τοῦ δὲ τεχνικοῦ, μέρη τρία· ἁρμονικὸν· ῥυθμικὸν· μετρικὸν· τὸ δὲ πρακτικὸν· εἴς τε τὸ χρηστικὸν τῶν προειρημένων τέμνεται· καὶ τὸ τούτων ἐξαγγελτικόν· καὶ τοῦ μὲν χρηστικοῦ, μέρη· μελοποιΐα· ῥυθμοποιΐα· ποίησις, τοῦ δὲ ἐξαγγελτικοῦ· ὀργανικὸν ᾠδικὸν· ὑποκριτικὸν· ἐν ᾧ λοιπὸν καὶ σώματι καὶ κινήσεις· ὁμόλογοι τοῖς

ὑποκειμένοις μέλεσι παραλαμβά-
νονται. κίνησις μὲν οὖν ἐστὶ μετα-
βολὴ ποιότητος εἰς τὰ ὁμογενῆ. τῆς
δὲ κατὰ τὴν φωνὴν κινήσεως εἴδη δύο·
πολυμερές τε καὶ ἀμερές. περὶ μὲν
οὖν τοῦ πολυμεροῦς εἴρηται. τὸ δὲ
ἀμερὲς αὐτῆς καὶ δι' ὅλου τάσις
προσαγορεύεται. τάσις δέ ἐστι μο-
νὴ καὶ στάσις τῆς φωνῆς. ταύτης δὲ
εἴδη δύο· ἄνεσις τε καὶ ἐπίτασις. ἄνε-
σις μὲν οὖν ἐστὶν, ἡνίκα ἂν ἀπὸ ὀξυ-
τέρου τόπου ἐπὶ βαρύτερον ἡ φω-
νὴ χωρῇ. ἐπίτασις δὲ ὅταν ἐκ βαρυ-
τέρου μεταβαίνῃ πρὸς ὀξύτερον.
ἐκ δὴ τούτων γινόμενα, τὸ μὲν
βαρύτητα· τὸ δὲ ὀξύτητα προσα-
γορεύομεν· γίνεται δὴ μὲν βαρύτης
κάτωθεν ἀναφερομένου τοῦ πνεύ-
ματος· ἡ δὲ ὀξύτης, ἐπὶ πολλῆς προ-
ϊεμένου. πᾶσα μὲν οὖν ἁπλῆ κίνη-
σις φωνῆς τάσις· ἡ δὲ τῆς μελῳδι-
κῆς φθόγγος ἰδίως καλεῖται. περὶ οὗ
λοιπὸν λέγωμεν τάδε προειπόντες
ὅτι τῆς ἁπάσης ἁρμονικῆς μέρη
ἑπτά· διαλαμβάνει γὰρ πρῶτον, πε-
ρὶ φθόγγων, δεύτερον περὶ διαστημά-
των· τρίτον περὶ συστημάτων· τέταρ-
τον περὶ γενῶν· πέμπτον περὶ τό-

νων· ἕκτον περὶ μεταβολῶν· ἕβδο-
μον περὶ μελοποιίας· εἴπωμεν
οὖν περὶ φθόγγων πρῶτον· ἐὰν δέ τι-
σιν ἀδιαγνώστοις ὀνόμασι χρώμεθα·
συγγνώμη· τεχνικῆς γὰρ ἀνάγκης τὸ ἰ-
δίωμα· φθόγγος μὲν οὖν ἐστι φωνῆς ἐμ-
μελοῦς μέρος ἐλάχιστον· φθόγγων δὲ δυνά-
μεις ἄπειροι μὲν εἰσὶ τῇ φύσει· αἱ δὲ
παραδιδόμεναι συλλήβδην, καθ᾽ ἕκαστον
τῶν γενῶν, εἰκοσιοκτώ· τούτων δὲ εἰ-
σὶν ὀνομασίαι· αἱ δὲ· προσλαμβανό-
μενος· ὑπάτη ὑπατῶν· παρυπάτη
ὑπατῶν ὑπατῶν ἐναρμόνιος· ὑπα-
τῶν χρωματική· ὑπατῶν διάτονος·
ὑπάτη μέσων· μέσων ἐναρμόνιος·
μέσων χρωματική· μέσων διάτονος·
μέση· τρίτη συνημμένων· συνημμένων
ἐναρμόνιος· συνημμένων χρωματική·
παρανήτη συνημμένων· νήτη συνημ-
μένων· παραμέση· τρίτη διεζευγ-
μένων· διεζευγμένων ἐναρμόνιος·
διεζευγμένων χρωματική· παρανή-
τη διεζευγμένων· νήτη διεζευγμένων·
τρίτη ὑπερβολαίων· ὑπερβολαίων
ἐναρμόνιος· ὑπερβολαίων χρωμα-
τική· παρανήτη ὑπερβολαίων· νή-
τη ὑπερβολαίων· προσλαμβανό-
μενος μὲν οὖν εἴρηται ὅτι τῶν ὀνο-

μαζομένων· τετραχόρδων οὐδενὶ κοι-
νωνεῖ ἀλλ' ἔξωθεν προσλαμβάνεται·
διὰ τὴν ἐπὶ τοῖς μέσοις συμφωνίαν τονικοῦ
ἐπέχων λόγον· ὃ ἔχει μέση πρὸς πα-
ράμεσον· ὑπάτη δὲ ὑπατῶν ὅτι τοῦ
πρώτου τετραχόρδου πρώτη τίθεται·
τὸ γὰρ πρῶτον, ὕπατον ἐκάλουν οἱ
παλαιοί· παρυπάτη δὲ, ἡ παρ' αὐ-
τὴν κειμένη· ὑπατῶν δὲ ἐναρμόνιος
χρωματική τε καὶ διάτονος· τῶν γενῶν
τῆς μελῳδίας εἰσὶ δηλωτικοὶ φθόγγοι·
ποικίλη γὰρ καὶ ἡ τῶν τετραχόρδων
διάθεσις γίνεται· αὗται γενικῶς ὑπερ-
υπάται καλοῦνται· ὑπάτη δὲ μέσων,
ἡ πρώτη πάλιν τούτων μέσων τετρα-
χόρδου· τοῦτο γὰρ μόνον μεταξὺ θε-
ωρεῖται· τοῦ τε ὑπατῶν καὶ τοῦ συνημ-
μένων· παρυπάτη δὲ μέσων, ἡ μετὰ
ταύτην καὶ ἄλλοι πάλιν ὅμοιαι ταῖς
ὑπάταις εἰδέσιν· αἳ καὶ τῷ πεν ει λίχανοι
προσηγορεύθησαν· ὁμωνύμως τῷ
πλήττοντι δακτύλῳ τὴν ἠχοῦσαν αὐ-
τὰς χορδὴν ἐπονομασθεῖσαι· ἡ δὲ με-
τὰ ταύτας, μέση καλεῖται· τῶν γὰρ
καθ' ἕκαστον τρόπον φθόγγων ἐκτιθεμέ-
νων μέση ταύτῃ κεῖται· μετὰ δὲ ταύ-
την· ἡ εἰ τονιαῖον μὲν, ἐπί τινων τι, τρί-
τη συνημμένων ἐστίν· ἀπὸ τῆς τελευ-

ταίας τῶν μετὰ τὴν μέσην τετραχόρ-
δων· τοῖς ἀριθμοῖς ἡμῶν ποιουμέ-
νων· διὰ τὸ λοιπὸν ἡμᾶς ἐφῆφθαι τῶν
ὀξυτέρων συστημάτων· αἱ δὲ μετὰ ταύ-
την, ἐναρμόνιος χρωματική τε καὶ δι-
άτονος, διὰ τὰς προειρημένας αἰτίας·
αὗται δὲ, καὶ παρανῆται καλοῦνται· διὰ
τὸ πρὸ τῆς νήτης κεῖσθαι, ἐπὶ δὲ ταύ-
ταις ἡ νήτη τουτέστιν ἐσχάτη· νεάτην
γὰρ ἐκάλουν τὴν ἐσχάτην οἱ παλαιοί,
συνημμένων δὲ, ἐκλήθη τὸ ὅλον σύ-
στημα, ὅτι τῷ προκειμένῳ τελείῳ, τῷ
μέχρι μέσης συνῆπται· πάλιν δὲ ἀ-
πὸ τῆς μέσης ἐπὶ τὴν νήτην τόνον
ἡ παρ' αὐτὴν κειμένη, παραμέση κα-
λεῖται· αἱ δὲ μετὰ ταύτην διὰ τὰς ὁ-
μοίας αἰτίας, κατὰ ταὐτὰ ταῖς ἐπὶ
τῶν συνημμένων ἔχουσι τὰς ὀνο-
μασίας, τὸ δὲ σύστημα τοῦτο, καλεῖ-
ται διεζευγμένων· ἑκάτερα γὰρ μέρη
καὶ οὐκ ἐξ ἴσου, τοῖς πρὸ αὐτοῦ κεῖται,
συστήμασιν· εἶτ' ἐπὶ τρίτη ὑπερβολαί-
ων· καὶ αἱ ταύτης ἐφεξῆς· κατὰ ταὐ-
τὰ καὶ διὰ ταὐτὰ ταῖς προκειμέναις
τὰς ἰδικὰς ἔχουσαι προσηγορίας· ἡ
δὲ γενικὴ τούτων, ὑπερβολαίων εἴρη-
ται· ὅτι πέρας ἐν ταύταις ποιησα-
μένη· ἡ φωνῆς ἀχίρνος δυνάμεις ἐπα-

ται· τούτων δὴ τῶν φθόγγων, οἱ μὲν εἰ-
σὶν ἑστῶτες· οἱ δὲ φερόμενοι καὶ οἱ μὲν
βαρύπυκνοι· οἱ δὲ μεσόπυκνοι· οἱ
δὲ ὀξύπυκνοι· οἱ δὲ ἄπυκνοι· πύκνον
μὲν οὖν ἐστι, τὸ ἐκ τριῶν φθόγγων διά-
θεσις· καὶ βαρύπυκνοι μὲν εἰσὶν, οἱ τὰς
πρώτας χώρας τοῦ πυκνοῦ κατέ-
χοντες· μεσόπυκνοι δὲ, οἱ τὰς μέσας·
ὀξύπυκνοι δὲ, οἱ τὰς ἐσχάτας, ἄπυ-
κνοι δὲ, οἱ τῆς κατὰ τὸ πυκνὸν τετρα-
χόρδου διαθέσεως· κατὰ μηδὲν κοι-
νωνοῦντες τόπον· τούτων ἑστῶτες
εἰσὶν· οἵ τε ἄπυκνοι· καὶ οἱ βαρύπυ-
κνοι· οἳ καὶ ὑπατοειδεῖς καλοῦνται· δι-
ὰ τὸ μὴ δέχεσθαι ποικίλας τάσεις·
φερόμενοι δὲ, οἱ λοιποὶ τούτων διὰ
τὸ ποτὲ μὲν ἐλάττω· ποτὲ δὲ μεί-
ζω δηλοῦν διαστήματα· κατὰ τὰς
ποιὰς τῶν τετραχόρδων, συνθέ-
σεις· τούτων δὲ τῶν φερομένων, οἱ
μὲν παρυπατοειδεῖς· οἱ δὲ λιχανο-
ειδεῖς καλοῦνται· πάλιν τῶν φθόγ-
γων· οἱ μὲν εἰσὶ πρὸς ἀλλήλους σύμ-
φωνοι· οἱ δὲ διάφωνοι· οἱ δὲ ὁμόφω-
νοι· σύμφωνοι μὲν, ὧν ἅμα κρουομέ-
νων, οὐδὲν μᾶλλον τῶ ὀξυτέρω, ἢ
τῶ βαρυτέρω· τὸ μέλος ἐμπρέπει· δι-
άφωνοι δὲ, ὧν ἅμα κρουομένων, ἢ τοῦ-

μέλοις ἰδιότης θατέρου γίνεται· ὁμό-
φωνοι δέ, οἵτινες δυνάμει μέν, ἀλ-
λοίαν φωνῆς· τάσιν δ' ἴσην ἔχου-
σι· διαφοραὶ δὲ φθόγγων πλείους· πρῶ-
τον μέν, ἡ κατὰ τὴν τάσιν, ἐν ὀξύτη-
τι καὶ βαρύτητι· δευτέρα δέ, ἡ κατὰ
διαστήματος μετοχήν· ὅταν ὁ μὲν
ἑνὶ κοινωνῶν· ὁ δέ, πλείοσι θεωρεῖ-
ται· τρίτη κατὰ συστήματος, ὅταν
ὁ μὲν ἑνός, ὁ δὲ δυεῖν μετέχῃ συστημά-
των· τετάρτη ἡ κατὰ τὸν τῆς φωνῆς
τόπον· ὅταν ὁ μὲν μείζονος ὁ δ' ἐλάτ-
τονος ᾖ τόπου· τίς δ' ὁ τῆς φωνῆς
τόπος, ὕστερον λέξομεν· πέμπτη
δέ· ἡ κατὰ τὸ ἦθος· ἕτερα γὰρ ἤθη τοῖς
ὀξυτέροις· ἕτερα τοῖς βαρυτέροις
ἐπιτρέχει· καὶ ἕτερα μὲν παρυπά-
τοειδέσιν· ἕτερα δὲ λιχανοειδέσι· διά-
στημα δὲ λέγεται διχῶς, κοινῶς, καὶ
ἰδίως· καὶ κοινῶς μέν, πᾶν μέγεθος
τὸ ὑπό τινων περάτων ὁριζόμε-
νον· ἰδίως δὲ κατὰ μουσικὴν γί-
νεται διάστημα, μέγεθος φωνῆς
ὑπὸ δυεῖν φθόγγων περιγεγραμ-
μένον· τῶν δὲ διαστημάτων, τὰ
μέν εἰσι σύνθετα· τὰ δὲ ἀσύνθε-
τα· ἀσύνθετα μέν, τὰ ὑπὸ τῶν
ἑξῆς περιεχόμενα φθόγγων· σύνθε-

τὰ δὲ, τὰ ὑπὸ τῶν μὴ ἑξῆς χορδῶν ὅσα
δυνατὸν ἐπὶ μελῳδοῦντας ἀναλύ-
ειν εἰς πλείονα· τούτων δὲ τῶν δια-
στημάτων, ἐλάχιστον μὲν ἐστὶν, ὡς ἐν
μελῳδίᾳ, δίεσις ἐναρμόνιος· εἶθ' ὡς
παχύτερον εἰπεῖν, τὸ ταύτης δι-
πλάσιον ἡμιτόνιον· εἶθ' ὁ τούτων δι-
πλάσιον τόνος· καὶ ἔτι τὸ τούτου δι-
πλάσιον δίτονον· πάλιν τούτων,
ἃ μὲν ἐστὶν ἐλάττω· ἃ δὲ μείζω· καὶ ἃ
μὲν σύμφωνα· ἃ δὲ διάφωνα· καὶ
ἃ μὲν ἐναρμόνια· ἃ δὲ χρωματι-
κά· ἃ δὲ διατονικά· καὶ ἃ μὲν, ῥητὰ
ἃ δὲ ἄλογα· ῥητὰ μὲν ὧν καὶ λόγον ἐ-
στὶν εἰπεῖν, οἷον λόγον δὲ φημὶ· τὴν
πρὸς ἄλληλα κατ' ἀριθμὸν σχέσιν·
ἄλογα δὲ, ὧν οὐδεὶς λόγος πρὸς
ἄλληλα εὑρίσκεται· τοῦ μὲν οὖν
διὰ τεσσάρων· λόγος ἐστὶν ἐπίτριτος·
τοῦ δὲ διὰ πέντε, ἡμιόλιος· τοῦ δὲ
διὰ πασῶν· ὁ διπλάσιων· τόνου
δὲ, ὁ ἐπόγδοος· σύμφωνα δὲ καὶ
διάφωνα καθὼς κἀπὶ τῶν φθόγγων
εἴπομεν· περὶ δὲ ἐναρμονίων καὶ τῶν
λοιπῶν, ἐν καιρῷ λέξομεν· ἔτι τινὰ
μὲν αὐτῶν ἐστὶν ἀσύνθετα, ὡς ἡ δί-
εσις· τινὰ δὲ σύνθετα, ὡς τὸ διὰ-
τεσσάρων· τινὰ δὲ καὶ σύνθετα καὶ ἀ-

ἀσύνθετα, ὡς τὸ ἡμιτόνιον καὶ ὁ τό-
νος· ἔτι δὲ αὐτῶν ἃ μὲν ἐστὶν ἄρτια·
ἃ δὲ περιττά· ἄρτια μὲν, τὰ εἰς ἴσα δι-
αιρούμενα, εἰς ἡμιτόνιον καὶ τόνον·
περιττὰ δὲ, τὰ εἰς ἄνισα· ὡς αἱ τρεῖς
διέσεις· καὶ ε̄ καὶ ζ̄· γίνεται δὲ ἡ θέσις
αὕτη, τοιαῦται δύο διέσεις ἐφεξῆς τί-
θενται· πλείους δὲ, οὐκέτι· δύο ἡμι-
τόνια ἐφεξῆς τίθεται· πλείω δὲ οὐ-
κέτι· δύο τόνοι τίθενται καθεξῆς· πλεί-
ους δ' οὐκέτι· περιίσταται γὰρ τὸ ὅλον,
εἰς ἀσυμφωνίαν ἔτι τῶν διαστημά-
των ἃ μὲν ἐστὶν, ἀραιά· ἃ δὲ πυκνά·
πυκνὰ μὲν, τὰ ἐλάχιστα ὡς αἱ διέ-
σεις· ἀραιὰ δὲ, τὰ μέγιστα ὡς τὸ διὰ
τεσσαρα· εἰσὶ δὲ ποικίλαι τοῦ τεσσά-
ρα τόνου, διαιρέσεις· ἃ μὲν ἢ εἰς δι-
έσεις· ἢ τόνου τεταρτημοριαίας· β̄
δὲ ἡ εἰς ἡμιτόνιον· τουτέστιν ἥμισυ τόνου·
γ̄ δὲ ἡ εἰς τρία ἡμιτόνια, ζ̄· δ̄ δὲ ἡ εἰς τέ-
σσαρα ἡμιτόνια· τουτέστι διέσεις ὀκ-
τώ· οὕτω δὲ καὶ οἱ ἀρχαῖοι συνετί-
θεσαν τὰ συστήματα· ἑκάστην χορ-
δὴν ἐν διέσει περιορίζοντες· δίεσις
μὲν οὖν ἐκαλεῖτο τὸ μικρότατον
τῆς φωνῆς διάστημα· οἷον διάλυ-
σις τῆς φωνῆς οὖσα· τόνος δὲ
τὸ διὰ μέγεθος πρῶτον διατεῖνον

τὴν φωνήν· ἡμιτόνιον δέ, ἤτοι τὸ ἥμι-
σὺ τούτου· ἢ τὸ ἁπλῶς τόνῳ πα-
ραπλήσιον· οὐ γάρ φασιν εἰς ἴσα τέ-
μνεσθαι τούτων ὡς περὶ ἴσως καὶ
τἀληθὲς ἔχει· ὑπόκειται δὲ καὶ ἡ πα-
ρὰ τοῖς ἀρχαίοις καταδιέσεις ἁρμο-
νία, ἕως κδ΄ διέσεων τὸ πρότερον
διάγουσα διὰ πασῶν· τὸ δὲ δεύτερον
διὰ τῶν ἡμιτονίων αὐξήσασα:·

οἷα αὕτη ἐστὶν ἡ παρὰ   β   γ   δ   ε
ϛ ζ η θ ι ια ιβ·
τοῖς ἀρχαίοις καταδι   —   ∠   ϭ   ч
ϙ γ ɹ ∂ ∇ ε Ǝ·
έσεις ἁρμονία· ἕως   ιγ   σ   >   ϙ
π ϭ λ γ ∇ δ Ǝ Ε·
κδ΄ διέσεων τὸ πρό   ιγ   ιδ   ιε   ιϛ
ιζ ιη ιθ κ κα κβ κγ κδ·
τερον διάγουσα διὰ πα   ⊥   ⊏   Ч   Э
ε ν γ α ɔ ∠ γ ν·
σῶν· τὸ δὲ δεύτερον δι   ⊥   ⊐   ν   ε
Э γ γ ϰ ∠ ɔ χ λ·
α τῶν ἡμιτονίων αὐξήσασα·
σύστημα δέ ἐστι τὸ ὑπὸ πλει   β   κϛ   κη
λ λα λδ λϛ λη μ μα μδ
όνων, ἢ δυεῖν διαστήματα   μϛ   μα·
∠ Ǝ τ Ω σ
τῶν περιεχομένων· τῶν δὲ

συστημάτων διαφοραί· αἱ σ ⸤ ο
ε λ μ ⊣ ⊏ ⊰
μὲν ὅμοιαι ταῖς ἐπὶ τῶν
διαστημάτων εἰρημέναις· ℧ ɔ ɔ
χ σ ⊰ γ ⊰·
αἱ δὲ πλείους· ὡς αἱ δέ· τὰ μὲν αὐ-
τῶν ἐστι συνεχῆ· ὡς τὰ διὰ τῶν μὴ
ἐφεξῆς μελῳδούμενα· καὶ τὰ μὲν
ἁπλᾶ, καθ' ἕνα τρόπον ἔκκειται·
τὰ δὲ οὐχ ἁπλᾶ ἃ κατὰ πλειόνων
τρόπων, πλοκὴν γίνεται· ἢ τῷ τὰ
μέν, εἶναι συνημμένα· τὰ δέ, κοινά·
καὶ συνημμένα μὲν ἐστὶν ὧν εἷς φθόγ-
γος γίνεται κοινός· ἃ τῶν συνημ-
μένων καὶ κατάλληλα λέγεται· δι-
εζευγμένα δέ, ὧν εἷς φθόγγος μέσος
ἐν τῷ τάσει χωρίζων ἑκάτερον, ἃ καὶ
παράλληλα καλεῖται· κοινὰ δέ, τὰ
ποτὲ μέν, κατὰ συναφήν· ποτὲ
δὲ κατὰ διάζευξιν κείμενα· ἔτι τῶν
συστημάτων· ἃ μὲν ἐστὶν τετράχορ-
δα· ἃ δὲ ὀκτάχορδα· ἃ ὑπὸ τεσσά-
ρων φθόγγων κατὰ φύσιν κειμένων
περιέχεται· ἃ δὲ πεντάχορδα· ἃ
δὲ ὀκτάχορδα· τὸν δ' αὐτὸν ὅρον
καὶ τοῦ τούτων νοητέον· τούτων τὰ-
μὲν ἐστὶ σύμφωνα· ἃ δὲ διάφωνα·
σύμφωνα μὲν οὖν ἐστι τετράχορδα·

τὰ ὑπὸ συμφώνων φθόγγων περιεχό-
μενα· πεντάχορδά τε καὶ ὀκτάχορ-
δα· ἀσύμφωνα δὲ, τὰ μὴ οὕτως
ἔχοντα· τίς δὲ ἡ φθόγγων συμφωνία
προειρήκαμεν· γίνεται δὲ αὐτῶν ἡ
ἔκθεσις ἐξ ἀνομοίων διαστημάτων·
οἷον, διέσεων, ἡμιτονίου, τόνου. ἔτι
δὲ αὐτῶν καὶ ἡ κατ' εἶδος διαφορά· τὰ
μὲν, ὑπὸ ἑστώτων· τὰ δὲ ὑποφερομέ-
νων φθόγγων περιέχεται· καὶ ἃ μὲν,
αὐτῶν ἐστὶ τέλεια, ἃ δὲ, οὔ· ἀτελῆ μὲν
τετράχορδον· πεντάχορδον· τέλει-
ον δὲ, ὀκτάχορδον· ἐπειδὴ ὁ μετ' αὐτὸν
φθόγγος· ὅμοιός ἐστι παντί τῳ, ἑνὶ τῶν
προηγησαμένων· τὸ μὲν οὖν τετρά-
χορδον· καλεῖται διὰ τεσσάρων· συνέ-
στηκε δὲ ἐκ τόνων δύο καὶ ἡμιτονίου·
ἡμιτονίων ε· διέσεων, ι· τὸ δὲ πεντά-
χορδον, καλεῖται μὲν διὰ ε· σύγκειται
δὲ ἐκ τόνων, γ ς· ἡμιτονίων ζ· διέσεων
ιδ· τὸ δὲ ὀκτάχορδον, καλεῖται δὲ διὰ πα-
σῶν· διατίθεται δὲ, ἐκ τόνων ς· ἡ-
μιτονίων ιβ· διέσεων κδ· ἔτι τῶν
ὅλων συστημάτων· ἃ μὲν ἐστὶ πυκνὰ
ἃ δὲ ἀραιά· καὶ τὰ μὲν ἀμετάβολα,
ταμίαν ἔχοντα μέσην· τὰ δὲ μετα-
βαλλόμενα τὰ πλείους ἔχοντα με-
σας· καὶ τὰ μὲν, διὰ τῶν ἑξῆς φθόγ-

φθόγγων

γων· τὰ δὲ δι' ὑστέρημα τῶν μελῳδεῖ-
ται· σχήματα δ' αὐτῶν, ποικίλα· ἀ-
πὸ τῆς τῶν διαστημάτων ἡγεμονί-
ας· ἢ ποιᾶς τάξεως θεωρούμενα·
να ἐστὶν ἡμιτόνιον· ἡμ· ἡγ· ὁ ποσο-
νοῖς· τετράχορδα μὲν οὖν ἐν ἑκά-
στῳ τόνῳ, τυγχάνει κατὰ διαίρεσιν θε-
ωρούμενα πέντε· ὑπάτων· μέσων·
συνημμένων· διεζευγμένων· ὑπερβο-
λαίων· πεντάχορδα δὲ σύμφωνα
γ̄· μέσων· συνημμένων· διεζευγμένων·
ὀκτάχορδα δὲ β̄· συνημμένων τε καὶ
διεζευγμένων· εἴδη δὲ αὐτῶν τέλεια·
καὶ δέκατον φθόγγου· παραύξη-
σιν· λαμβανόμενα· παρὰ μέντοι
τοῖς παλαιοῖς τὸ μὲν διὰ τεσσάρων,
ἐκαλεῖτο συλλαβή· τὸ δὲ διὰ πέντε,
δι' ὀξεῖα· τὸ δὲ διὰ πασῶν ἁρμονία·
ὃ καὶ πολλῶν κατ' εἶδος ὀνομασιῶν
τετύχηκε· τὸ μὲν γὰρ ἀπὸ ὑπάτης
ὑπάτων ἐκαλεῖτο μιξολύδιον· τὸ
δὲ ἀπὸ παρυπάτης, λύδιον· τὸ
δὲ ἀπὸ διατόνου, φρύγιον· τὸ δὲ ἀπὸ
μέσων ὑπάτης δώριον· τὸ δὲ ἀπὸ
παρυπάτης, ὑπολύδιον· τὸ δὲ ἀ-
πὸ διατόνου, ὑποφρύγιον· τὸ δὲ ἀ-
πὸ μέσης, ὑποδώριον· ἐκ δὴ τού-
του φανερὸν ὡς καὶ ταὐτὸν ὑποθε-

μένοις σημεῖον πρῶτον· ἄλλο τε
ἀλλὴ δύναμιν φθόγγου καταλαμβανό-
μενον· ἐκ τῶν τῆς ἐφεξῆς φθόγγων
ἀκολουθίας· τὴν τῆς ἁρμονίας ποι-
ότητα φανερὰν γενέσθαι συμβαί-
νει· περὶ μὲν οὖν συστημάτων· ἃ
καὶ ἀρχὰς οἱ παλαιοὶ τῶν ἠθῶν
ἐκάλουν, ἀρκεῖ ταῦτα· γένος δέ
ἐστι ποιὰ τετραχόρδου διαίρεσις·
γένη δὲ μελῳδίας, γ· ἁρμονία· χρῶ-
μα· διάτονον· ἐκ τῆς τῶν διαστημά-
των ἐγγύτητος ἢ μακρότητος λαμ-
βάνοντα τὰς διαφοράς· ἁρμονία
μὲν οὖν καλεῖται τὸ τοῖς μικρο-
τάτοις πλεονάσαν διαστήμασιν,
ἀπὸ τοῦ συνηρμόσθαι· διάτονον
δέ, τό, τοῖς τόνοις πλεονάζον,
ἐπειδὴ σφοδρότερον ἡ φωνὴ κατ' αὐ-
τὸ διατείνεται· χρῶμα δέ, τὸ δι'
ἡμιτονίων συντεινόμενον· ὡς
γὰρ τὸ μεταξὺ λευκοῦ καὶ μέλα-
νος χρῶμα καλεῖται οὕτω καί,
τὸ διὰ τὸ μέσον ἀμφοῖν θεωρού-
μενον χρῶμα προσείρηται· τού-
των δὲ ἕκαστον μέθεῖται· τὸ μέν,
ἐναρμόνιον, κατὰ διέσιν καὶ διέ-
σιν· καὶ δίτονον ἀσύνθετον, ἐπὶ
τὸ ὀξύ· ἐπὶ δὲ τὸ βαρύ, ἐναντίως·

τὸ δὲ χρῶμα· ἐπὶ μὲν τὸ ὀξὺ· κατὰ-
ἡμιτόνιον καὶ ἡμιτόνιον· καὶ τρι-
ημιτόνιον· ἐναντίως δὲ, ἐπὶ τὸ
βαρύ· τὸ δὲ διάτονον· καθ' ἡμιτό-
νιον καὶ τόνον καὶ τὸν ἐπὶ τὸ ὀξύ
ἐπὶ δὲ τὴν βαρύτητα ἐναντίως·
τούτων δὲ, φυσικώτερον μέν ἐστι
τὸ διάτονον· πᾶσι γὰρ καὶ τοῖς
ἀπαιδεύτοις πάνυ τι πᾶσι με-
λῳδητόν ἐστι· τεχνικώτερον δὲ
τὸ χρῶμα· παρὰ γὰρ μόνοις μελῳ-
δεῖται τοῖς πεπαιδευμένοις· ἀκρι-
βέστερον γὰρ τὸ ἐναρμόνιον· παρὰ-
γὰρ τοῖς ἐπιφανεστάτοις ἐν μουσι-
κῇ· τετύχηκε παραδοχῆς· τοῖς
δὲ πολλοῖς ἐστὶν ἀδύνατον· ὅθεν
ἀπέγνωσάν τινες· τὴν κατὰ δί-
εσιν μελῳδίαν, διὰ τὴν αὐτῶν ἀ-
σθένειαν· καὶ παντελῶς ἀμελῳ-
δητον εἶναι τὸ διάστημα ὑπολαβόν-
τες· τούτων δὲ τῶν, γενῶν· ἕκαστον
μελῳδοῦμεν, ἔν τε ἀγωγῇ καὶ πλο-
κῇ· καὶ ἀγωγὴ μέν ἐστιν· ὅτε διὰ τῶν
ἑξῆς φθόγγων ποιούμεθα τὴν με-
λῳδίαν· πλοκὴ δὲ, ὅτε διὰ τῶν
καθ' ὑπερβασιν λαμβανομένων,
ἐπὶ τῆς μελῳδίας· ἡ μὲν εὐθεῖα
καλεῖται· ἡ δὲ ἀνακάμπτουσα· ἡ δὲ

περιφερής· εὐθεῖα μὲν, ἡ ἀπὸ τοῦ βαρύ-
τητος εἰς ὀξύτητα· ἀνακάμπτου-
σα δὲ ἡ ἐναντία· περιφερὴς δὲ, ἡ ἐμμε-
ταβολος· οἷον εἴ τις κατὰ συναφὴν
τετραχόρδων ἐπιτείνας, ταὐτὸν
ἀνείη κατὰ διάζευξιν· πάλιν τῶν
γενικῶν συστημάτων· ἃ μὲν, ὡς
δίχα διαιρεῖται· ἃ δὲ οὔ, τὸ μὲν οὖν
ἐναρμόνιον, ἅτε ἐξ ἐλαχίστων διέ-
σεων συγκείμενον, ἀδιαίρετον ἐπὶ
τὸ δὲ χρῶμα διαιρεθήσεται εἰς διά-
στήματα· ὅσα ἂν ῥητὰ μεταξὺ
τοῦ τε ἡμιτονίου καὶ τόνου ῥητὰ δι-
αστήματα θεωρῆται· γίνεται τοίνυν
τοῦ μὲν χρώματος εἴδη γ΄· τοῦ δὲ
διατόνου β΄· ὡς εἶναι τὰ πάντα
τῷ ἐναρμονίῳ προστιθέμενα με-
λῳδιῶν εἴδη ς΄· τὸ μὲν οὖν πρῶτον
τὸ ἐναρμόνιον χαρακτηρίζεται ἐκ τῶν
τεταρτημορίων διέσεων τοῦ τό-
νου καὶ καλεῖται ἐναρμόνιον· τὸ
δὲ δεύτερον τριμοριαία διέσει, καὶ
καλεῖται μαλακὸν χρῶμα· τὸ δὲ γ΄ χα-
ρακτηρίζεται μὲν ἐκ διέσεων ἡμιο-
λίων τῆς ἐναρμονίου διέσεως· κα-
λεῖται δὲ ἡμιολίου χρώματος· τὸ
δὲ ε σύγκειται μὲν ἐξ ἡμιτονίου καὶ
γ΄ διέσεων· καὶ λοιπῶν ε΄ καλεῖται δὲ

μαλακοῦ διὰ τόνου· τὸ δὲ ἕκτον, ἔχει
μὲν ἡμιτόνιον καὶ τόνον· λείπεται δὲ
σύντονον διάτονον· ἵνα δὲ, δῆλον ἦ
τὸ λεγόμενον ἐπ' ἀριθμῶν, ποιησό-
μεθα τὴν διαίρεσιν· ὑποθέμενοι τὸ
τετράχορδον· μονάδων ξ·:
ἐναρμονίου διέσις, ϛ ϛ μη ἐναρ-
μονίου κατὰ διέσιν καὶ διέσιν· καὶ δί-
τονον· χρώματος διέσις η η μδ·
μαλακοῦ χρώματος κατὰ διέσιν
καὶ διέσιν· καὶ τριημιτόνιον καὶ διέ-
σιν ἡμιολίου χρώματος· θ θ μβ· κα-
τὰ διέσιν καὶ διέσιν ἡμιόλιον· καὶ τρι-
ημιτόνιον καὶ διέσιν τονιαίου χρώμα-
τος· ιβ ιβ λϛ· μαλακοῦ διὰ το-
νου· ιβ κδ κδ· ἢ κδ κδ ιβ ἄλλως·
γίνονται δὲ καὶ ἄλλαι τετραχόρδων καὶ
διαιρέσεις· αἷς καὶ οἱ πάνυ παλαιότα-
τοι πρὸς τὰς ἁρμονίας, κέχρηνται·
ἐνίοτε μὲν οὖν αὗται τέλειον ὀκτά-
χορδον ἐπλήρουν· ἔσθ' ὅτε δὲ καὶ μεῖ-
ζον ἐξατόνου σύστημα· πολλάκις
δὲ καὶ ἔλαττον· οὐδὲ γὰρ πάντας πα-
ρελάμβανον ἀεὶ τοὺς φθόγγους· τὴν
δὲ αἰτίαν ὕστερον λέξομεν· τὸ μὲν
οὖν διάστημα συνετίθεσαν· ἐκ διέσε-
ως καὶ τόνου καὶ τόνου· καὶ διέσεως
καὶ διέσεως· καὶ τόνου καὶ διέσεως·

καὶ τοῦτο μὲν ἦν· τέλειον σύστημα· τὸ δὲ δώριον, ἐκ τόνου καὶ διέσεως καὶ διέσεως· καὶ δὶ τόνου καὶ τόνου· καὶ διέσεως καὶ διέσεως καὶ τόνου· ἦν δὲ καὶ τοῦτο, τέλειον διαπασῶν· τὸ δὲ ἰάστιον· συνετίθεσαν, ἐκ διέσεως καὶ διέσεως καὶ δὶ τόνου· καὶ τριημιτονίου· καὶ τόνου· ἦν δὲ τοῦτο τοῦ διαπασῶν ἐλλεῖπον τόνῳ· τὸ δὲ μιξολύδιον· ἐκ β διέσεων κατὰ τὸ ἑξῆς κειμένων, καὶ τόνου καὶ τόνου· καὶ τόνου· καὶ διέσεως· καὶ γ τόνων· ἦν δὲ καὶ τοῦτο τέλειον σύστημα· τὸ δὲ λεγόμενον συντονολύδιον, ἦν διέσις· καὶ δὶ τόνος, καὶ τριημιτόνιον· διέσιν δὲ μίαν ἐπὶ πᾶσαν τῶν ἀκουστόν· τὴν ἁρμονίαν· σαφηνείας δὲ ἕνεκεν· καὶ διὰ γραμμάτων σύστημα τῶν ὑπογεγράφθω· τούτων δὴ καὶ ὁ θεῖος Πλάτων ἐν πολιτείᾳ μνημονεύει λέγων· θρηνώδεις μὲν εἶναι, τήν τε μιξολυδιστὶ καὶ τὴν συντονολυδιστί· συμποτικὰς δὲ καὶ λίαν ἀνειμένας, τήν τε ἰαστὶ καὶ λυδιστί· καὶ μετὰ ταῦτα ἐπιφέρει λέγων· κινδυνεύει σοι δωριστὶ λείπεσθαι καὶ φρυγιστί· τοιαύτας γὰρ ἐπὶ τοσοῦτο τῶν ἁρμονιῶν τὰς ἐκθέσεις·

α λυδιστί
ὑποδωριστὶ πρὸς τὰ προκείμενα
R V C O Ʒ ᴎ Ƨ ϵ ϕ C ρ
ϖ ι Ƨ ⊏ δ θ τῶν ἠθῶν· τὰς τῶν φθόγ-
γων ⅃ > C ϰ V ⊏ N F C ∪ ⊃ ∠ =
Ц ⊐ ∠ ποιότητας ἁρμο γ φρυ-
γιστί ∂ ἰαστί
ζόμενοι περὶ ϕ C ρ ϖ ι Ƨ ϵ δ
Ц ˥ R V σ M ι. μὲν οὖν τούτων ὕ-
ϛ F C ∪ ∠ ⊏ Ц Ƨ Γ ∠ > C ˥ ∠
στερον ἀκριβῶς ἐροῦμεν ε μιξολυδιστί
ϛ ὑπολυδιστί μὲν ι
ταμῶν δὲ > R ϰ ϕ C ρ π Ƨ > R V C
μ περὶ τόνων λέγωμεν Ƨ
⅃ ? ⊏ C ∪ ⊃ ⊏ Γ ∠ ⊃ C Π
τόνον δὴ κατὰ μουσικὴν καλοῦμεν,
τριχῶς· ἢ γὰρ ὅπερ τὴν τάσιν ἢ μέ-
γεθος ποιὸν φωνῆς· οἷον ᾧ τὸ διὰ
τοῦ ε τοῦ διὰ ε τοῦ διὰ τεσσάρα ὑπερ-
έχει· ἢ τρόπον σύστηματος οἷον
λύδιον· ἢ φρύγιον· περὶ οὗ νῦν πρό-
κειται λέγειν· τόνοι δέ εἰσι κατὰ μὲν
Ἀριστόξενον· τρισκαίδεκα· ὧν οἱ προσ-
λαμβανόμενοι· περιέχονται τῷ διὰ πα-
σῶν· κατὰ δὲ τοὺς νεωτέρους πεν-
τεκαίδεκα· ὧν οἱ μὲν προσλαμβα-
νόμενοι· περιέχονται τῷ διὰ πα-
σῶν τόνῳ· τοῦ κατὰ διάζευξιν ἐφα-

ἑπόμενοι· ὀνομάζει δ' αὐτοὺς οὕτως,
ἀριστόξενος· ὑποδώριος· ὑποφρύ-
γιοι β̄· ὁ μὲν βαρύς· ὃς καὶ ὑποϊάστιος
καλεῖται· ὁ δ' ὀξύς· ὑπολύδιοι β̄· ὁ
μὲν βαρύς· ὃς νῦν αἰόλιος· ὁ δ' ὀ-
ξύς· μιξολύδιοι β̄· ὁ μὲν, βαρύς· ὃς
νῦν ὑπερδώριος· ὁ δ' ὀξύς· ὃς νῦν
ὑπεριάστιος· ὑπερμιξολύδιος εἷς·
ὃς καὶ ὑπερφρύγιος· τούτοις ὑπὸ
τῶν νεωτέρων προστέθειται· ὅ τε
ὑπεραιόλιος καὶ ὁ ὑπερλύδιος· ὅ-
πως γὰρ ἕκαστος βαρύτητά τε ἔχοι καὶ
μεσότητα· καὶ ὀξύτητα· ἕκαστος δ' ἂν
αὐτῶν ἢ μὲν τονιαίῳ μὲν ὑπερέξει τοῦ προ-
τέρου· ἀπὸ τοῦ βαρυτάτου βουλομέ-
νων ἄρχεσθαι· ἢ τονιαίῳ δ', ἐλάττων
ἔσται· εἴτε τὴν ἀρχὴν ἀπὸ τοῦ ὀξυτάτου
ποιησόμεθα· περιέχονται μὲν οὖν αὐ-
τῶν ὡς ἔφην οἱ προσλαμβανόμενοι
τῷ διὰ πασῶν καὶ τόνῳ· λαμβά-
νονται δ' ἐν διὰ τοῦτο· καὶ διὰ συμφω-
νιῶν· ἀρξάμενος γὰρ ἀπὸ τοῦ
βαρυτάτου· καὶ βουλόμενος ἐπι-
τείνειν καὶ πάλιν ἀνιέναι κατὰ ποι-
κίλα διαστήματα, πάντως ἐπί
τινος αὐτῶν ἐφάψομαι προσλαμ-
βανομένου· τούτων δ', οἱ μὲν με-
λῳδοῦνται δι' ὅλου· οἱ δ', οὐχί· ὁ μὲν

οἷον δώριος· οὐκ ἐπὶ πάσας μελῳδεῖται,
διὰ τὸ μέχρι τῶν ιε τόνων, τὴν φωνὴν
μὴ ὑπηρετεῖσθαι· καὶ διὰ τὸ μέσον
αὐτοῦ, τὸν προσλαμβανόμενον τοῦ
διὰ πασῶν εἶναι ὑποδωρίου· τῶν
δὲ λοιπῶν οἱ μὲν βαρύτεροι τοῦ δω-
ρίου, μέχρι τοῦ συμφωνοῦντος φθόγ-
γου τῇ νήτῃ τῶν ὑπερβολαίων· οὕτως,
οἷον καὶ τὰς ᾠδὰς ἢ τὰ κῶλα τοῖς τρό-
ποις συζητήσομεθα· εἰ τὸν κοιλότατον
τῶν φθόγγων τοῦ συστήματος ἐπὶ τῶν
προσλαμβανομένων ὑποβάλλοι-
μεν· καὶ τὰ ἀπὸ τούτου μελῳδοίη-
μεν ἐπὶ τὸ βαρύ· εἰ μὲν γὰρ μὴ δυνη-
θείημεν ἀνιέναι παραιτέρω, δώριος
ἔσται· διὰ τὸν ἀνάκουστον, φθόγγων δω-
ρίου προσλαμβανομένῳ ὡρίσθαι·
εἰ δὲ ἐξακούοι, τὸ θεωρῆσαι πειρασό-
μεθα· πόσῳ τοῦ δωρίου προσλαμ-
βανομένου τοσοῦτο, ὅσῳ καὶ τοῦ
μέλλοντος ὁ κοιλότατος φθόγγος τοῦ τῇ
φύσει κοιλοτάτου μείζων ἐθεωρήθη·
εἰ δ' ὁ βαρύτατος τῆς ᾠδῆς φθόγγος·
ὑπερέχοι πλεῖ τοῦ δωρίου τὸ διὰ πα-
σῶν· ὀξύτερος ὑπάρχων· ληψόμεθα μὲν
αὐτοῦ· τὸν διὰ πασῶν, ἐπὶ τὸ βαρὺ
τῇ δὲ προειρημένῃ χρησάμενοι μεθό-
δῳ· τὴν ἁρμονίαν αὐτὴν οὐδ' ἧττον χρώς

ἐκληψόμεθα· μεταβολὴ δέ ἐστιν ἀλ-
λοίωσις τοῦ ὑποκειμένου συστή-
ματος· καὶ τοῦ τῆς φωνῆς χαρα-
κτῆρος· εἰ γὰρ ἑκάστῳ συστήματι καὶ
ποιότης τις ἐπακολουθεῖ τῆς φωνῆς
τύπος· δῆλον ὡς ἅμα ταῖς ἁρμο-
νίαις, καὶ τὸ τοῦ μέλους εἶδος ἀλ-
λοιωθήσεται· μεταβολαὶ δὲ ἐν τοῖς
τόνοις γίνονται, ποικίλαι· καθ' ἕκα-
στον τῶν διαστημάτων· τῶν ἀσυν-
θέτων· ἀλλ' αἱ μὲν ἐκ συμφώνων
λαμβανόμεναι διαστημάτων
χαριέστεραι· αἱ δὲ λοιπαὶ τούτων
οὐ πάνυ· ὧν καὶ τὰ σχήματα κα-
τὰ τὰς πλοκὰς δεῖ θεωρεῖν,
κατὰ τόνον ἡμιτόνιον ἀπὸ φθόγ-
γου μεταβάλλοντα· καὶ ὅλως κα-
τὰ πᾶν ἤτοι, περισσὸν ἢ ἄρτι-
ον διάστημα· καὶ ἢ ἀρίσιν τὰ πεποί-
τείνοντα· γίνονται δι' αὐτῶν, καὶ κα-
τὰ τετράχορδον κοινωνίαι· οἱ
μὲν γὰρ ἡμιτονίῳ ἀλλήλων ὑπερ-
έχουσι· οἱ δὲ τόνῳ· οἱ δέ, τοῖς, τού-
των μείζοσι διαστήμασιν· ὥστε
συμβαίνειν τὰς τοῦ κοιλοτέρου
μέσας, ὑπάτας γίνεσθαι τοῦ ὀ-
ξυτέρου· ἢ ἀνάπαλιν· καὶ κατὰ
τὰ ἑξῆς ὁμοίως· εἰσὶ δὲ τῷ γένει,

γ τόνοι γ̄· δώριος· φρύγιος· λύδιος·
τούτων ὁ μὲν δώριος, πρὸς τὰ
βαρύτερα τῆς φωνῆς ἐνεργήμα-
τα χρήσιμος· ὁ δὲ λύδιος· πρὸς
τὰ ὀξύτερα· ὁ δὲ φρύγιος πρὸς
τὰ μέσα· οἱ δὲ λοιποὶ μᾶλλον ἐν ταῖς
ὀργανικαῖς θεωροῦνται συνθέσε-
σιν· ἐκεῖνα γὰρ ἐν μικροῖς ἐξειρ-
γάσθαι συστήμασι· τῶν δὲ τόνων
πάντων· ἐκ τῆς τῶν κδ γραμμά-
των τάξεως ἀνὰ πάλιν συγκει-
μένων, τοῦ μὲν βαρυτάτου πάν-
των ὑποδωρίου τόνου ἐπὶ τοῦ βα-
ρέος, ἄνευ τῆς, τοῦ λαμβανομέ-
νου ἀρχὴν τῶν σημείων· ἔπειτα
τὸ μετὰ τοῦ τὸ ἐν ἁρμονίᾳ, δι-
έσεως ἐπέχον λόγον· ἐν δὲ χρώμα-
τι καὶ διατόνῳ, ἡμιτονίου· εἶτα
τὸ μετὰ τοῦτο· εἶτα τὸ τέταρτον,
τόνον ἐπέχειν, ὁρίζομεθα καὶ τοῦ-
το ἀρχὴν τοῦ καθόλου τοῦ τῶν τρό-
πων, ποιησάμενοι· πάλιν ἡμι-
τονίου ἐπιτείναντες, τοῦ μετ' αὐ-
τὸν τάττομεν τοῦ προσλαμβα-
νόμενον καὶ τοῖς ἑξῆς ταῖς αὐ-
ταῖς ὑπεροχαῖς συντιθέντες, τὸν
τῶν ιε τρόπων πληροῦμεν ἀριθ-
μόν· ὑπόκειται δὲ ἡ καθ' ἡμιτόνιον

τῶν στοιχείων θέσεις· καὶ αἱ κατὰ τόνον·
καὶ λοιπὸν οἱ ἐκ τούτων τρόποι· δι-
πλῆ δὲ ἡ ἔκθεσις τῶν σημείων γέ-
γονεν ἡ μὲν· ἐκ τῆς τῶν κατωτέρω γρα-
φομένης ὁμοιότητος· τὴν τῶν
ἄνω θεωρῶμεν ἀκολουθίαν· καὶ
ὅπως τοῖς μὲν κάτω τὰ κῶλα·
καὶ τὰ ἐν ταῖς ᾠδαῖς μεσαυλικὰ
ἢ ψιλὰ κρούματα· τοῖς δὲ ἄνω τὰς
ᾠδὰς χαρακτηρίζομεν· καὶ ὅπως
τὰ κατὰ μουσικὴν ἀπόρρητα,
συγκρύπτωμεν εὐκόλως· ἀντι-
τῶν ἐν χρήσει γραμμάτων· κα-
τὰ τὴν τονικὴν ἔκθεσιν ὑπογεγραμ-
μένα κατὰ πλάτος τε· περὶ οὗ δὲ,
τὸ διὰ γραμμάτων προσώπων γίνε-
ται παρὰ πλησίον, τὰς ὑπεροχὰς
ἃς ἔχουσιν οἱ τόνοι πρὸς ἀλλήλους
ἀναδιδάσκον· ἐκτέχειν τὰ δὲ. οὗτοι·
κατὰ τὰ γ̄ γένη καὶ τὰς συμφωνί-
ας περιέχοντες, συμφωνία δέ ἐ-
στιν ὅταν δύο στοιχείων κατὰ τὴν ἐναρ-
μονίαν διὸ διαστήματα περιεχόν-
των· θάτερον τούτων ἐν ἄλλῳ γένει
μόνον τὰ ἐμ συναφθέντα σημαί-
νῃ;—

Ἔκθεσις τῶν κατὰ τόνον: Ƨ σ Ʒ α ω
N ν ω φ σ ο κ η γ υ θ ο κ η γ υ · C σ Ε

η π ϶ ∃ ꝟ F c κ ι 7 η Ꞩ π κ ι 7 η
Ꞩ ✱ + η η ϖι ϖ ⊤ χ ⊤ π ν ν Ꞩ α
✱ θ χ r ψ ω ν ϵ ⊦ Γ ч ∃ ͻ π < ϲ < χ
α ч Γ δ ι ϛ η θ ι κ λ μ ν ξ ο ϖ ρ σ τ
υ φ χ ψ ω
ψ N ∓ ꝟ ϲ γ ψ < 7 π κ ψ κ ͻ υ σ ∃
ᚑ F ч ꝟ ω ᚹ R 7 ∇ F Ꞩ η ⊤ φ ψ
ϒ ϒ ϒ ν ч ʍ φ ϖ ƅ Ʒ + λ ✱ ⱷ ϖ 7 ι
Γ + ┼ ⊦ ∃ π ⊏ ƅ η ⊏ η ψ ω ε χ 7 ч ʍ ϛ

τῶν δέκα τρόπων ταῦτα διὰ γράμματα ἐστὶ τ
αἱ μεταπτώσεις καὶ τῆς προ στοιχείων ἐπεξηγούμενα ε
τι καὶ διὰ τεσσάρων καὶ διὰ πέντε πέρα ἐστί· καὶ τοῦτο τρόπον ὁμοί·
καὶ διὰ πασσῶν καὶ ἐξ ἀμφοτέρων ἕτερα μικτά:

ἐκθέσις τῶν κατὰ ἀντιτονίου :-

Ͻ ✱ ο + ϶ η φ h λ τ 7 7 ᚹ ω χ φ τ c
π Ʒ η κ ι λ μ λ я ⊏ ✱ σ ⊦ Ʒ ω η π ϵ ∃
⊦ Γ τ μ ч F ∃ c ͻ κ 7 ꝟ χ π c η ϶ ⊥ ч
χ F R ┼ ψ ρ ξ α ϵ ⊥ ш π ┼ υ ν ч
υ ϖ ч ϛ r α υ ✱ τ + ο ч δ ῦ ч ϛ r
ᾱ ч ⊏ η λ Ʒ ∂ η κ π 7 ⱡ ψ ι ν ϛ ϛ
⊏ Ʒ ⱷ λ ξ ψ θ ϵ ч υ γ ⊥ ψ λ χ ⊔
⊥ ∂
∃ ϛ

τοσαῦτα τὰ γράμματα δι' ὧν ἡ πᾶσα τοῦ
θατέρου τῶν στοιχείων ὅλων ἐκ
μελῶν διαγράφεται τῆς λέξεως καὶ θέ-
σεις τῶν ιε τρόπων κατὰ τρία·

τῆς κρούσεως· τουπὶ τῶν ἱεροῦ πε-
ρη· πόσοις γὰρ σχήμασι ση-
αὕτη τῆς τριημείας γὰρ ἐπιχαμονίου
μαίνεται ἕκαστον ἐκ τοῦ τοῦ δήλου:
α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο π ρ
σ τ υ φ χ ψ ω
ϐ ʀ ꓕ ∇ ш ζ ч ⊥ / ɤ χ ɯ ᴎ ϖ ϙ п
ɓ ∪ ⊤ ⅄ θ ⋇ ⫛ ʊ y ⅂ < ∃ ⊨ \ ϰ ∠ ᴎ σ
ᴎ ɔ ɾ ⊢ θ ⋇ ⅂ ⊧ ⅂ ⊟ ⊏ π λ ɴ ⊸
⊏ ϵ + ∠ ⊸ ⁎ τῶν δὲ ἐφθόρων ἑξῆς ταδί·
ɤ μ λ ⊞ ∋ ⌶ ζ ɔ ℨ γ ⌐ ʮ ϟ п ϶ ⊢ ϵ ⊑
ᴎ ʮ ⊏ ⊐
ῥητέον λοιπὸν περὶ ἐκλύσεως σπον-
δειασμοῦ τε καὶ ἐκβολῆς· καὶ γὰρ
τούτων τῶν διαστημάτων ἡ χρεία
πρὸς τὰς διαφορὰς τῶν ἁρμονι-
ῶν παρείληπτο τοῖς παλαιοῖς·
ἔκλυσις μὲν οὖν ἐκαλεῖτο, τριῶν
διέσεων ἀσυνθέτων ἄνεσις· σπον-
δειασμὸς δὲ! ἡ ταὐτοῦ διαστήμα-
τος ἐπίτασις· ἐκβολὴ δὲ, ε διέσε-
ων ἐπίτασις· ταῦτα δὲ, καὶ πά-
θη τῶν διαστημάτων διὰ τὸ σπά-
νιον τῆς χρήσεως προσηγόρευε· τὸ
μέλος δὲ ἐστι τέλειον μέν, τὸ ἔκ τε
ἁρμονίας· καὶ ῥυθμοῦ καὶ λέξε-
ως συνεστηκός· ἰδίᾳ πρὸς δὲ ὧ
ἐναρμονίκη πλοκή· φθόγγων ἀνο-

μοίων ὀξύτητα καὶ βαρύτητα·
μελοποιία δὲ, δύναμις κατασκε-
υαστικὴ, μέλους, ταύτης δὲ· ἡ μὲν
ὑπατοειδής ἐστιν· ἡ δὲ μεσοειδής·
ἡ δὲ νητοειδής· κατὰ τὰς προει-
ρημένας ἡμῖν περὶ φωνῆς ἰδιό-
τητος· μέρη δὲ αὐτῆς, λῆψις, δι' ἧς
εὑρίσκειν τῷ μουσικῷ περιγίγνεται
ἀπὸ ποίου τῆς φωνῆς τόπου
τὸ σύστημα ποιητέον· πότερον
ὑπατοειδοῦς· ἢ τῶν λοιπῶν τι-
νος· μίξις δὲ, δι' ἧς ἤτοι τοὺς φθόγ-
γους ἀλλήλοις· ἢ τοὺς τόπους
τῆς φωνῆς· ἁρμόζομεν ἢ γένη με-
λῳδίας· ἢ τρόπων συστήματα
χρῆσις δὲ, ἡ ποιὰ τῆς μελῳδίας
ἀπεργασία· ταύτης δὲ, πάλιν
εἴδη γ'· ἀγωγή· πεττεία πλοκή· ἀ-
γωγῆς μὲν οὖν εἴδη γ'· εὐθεῖα ἀ-
νακάμπτουσα περιφερής· εὐ-
θεῖα μὲν οὖν ἐστιν, ἡ διὰ τῶν ἑξῆς
φθόγγων τὴν ἐπίτασιν ἀνακάμ-
πτουσα δὲ ἡ διὰ τῶν ἑπομένων
ἀποτελοῦσα τὴν βαρύτητα, πε-
ριφερὴς δὲ, ἡ κατὰ συνημμένων
μὲν ἐπιτείνουσα· κατὰ διεζευγ-
μένων δὲ ἀνιεῖσα· ἢ ἐναντίως αὐ-
τῇ δὲ, καὶ ταῖς μεταβολαῖς θεω-

ρεῖται· πλοκὴ δὲ ἐστὶν· ἡ διὰ τῶν ὑ-
περβατῶν διαστημάτων· ἢ φθόγ-
γων· διὸ ἢ καὶ πολυμόρφως ἐναπο-
ιεμένη τόνον ἤτοι τὰ βαρέα τού-
των ἢ τὰ ὀξύτερα· πρότερα ποιοῦσα
καὶ τὸ μέλος ἀπεργαζομένη· πετ-
τεία δὲ, ἡ γινώσκομεν τῶν φθόγγων ἀ-
φετέον· τίνα δὲ παραληπτέον· καὶ
ὁσάκις ἕκαστον αὐτῶν· ἀπὸ τίνος
τε ἀρκτέον· καὶ εἰς ὃν καταληκτέον· αὕ-
τη δὲ, καὶ τοῦ ἤθους γίνεται παραστα-
τική· διαφέρει δὲ μελωποιΐα μελῳ-
δίας· ἡ μὲν γάρ, ἐπαγγελία μέλους
ἐστίν· ἡ δὲ ἕξις ποιητική· τρόποι δὲ με-
λοποιΐας, γένει μὲν γʹ· διθυραμβι-
κὸς· νομικὸς· τραγικός· ὁ μὲν οὖν
νομικὸς τρόπος, ἐστὶ νητοειδής· ὁ
δὲ διθυραμβικός, μεσοειδής· ὁ δὲ
τραγικὸς· ὑπατοειδής· εἴδη δὲ εὑ-
ρίσκονται πλείονες ὡς διὰ τὴν
ὁμοιότητα τοῖς γενικοῖς ὑποτακ-
τέον· ἐρωτικοί τε γὰρ καλοῦνται τινὲς
ὧν ἴδιοι οἱ ἐπιθαλάμιοι· καὶ κωμικοί·
καὶ ἐγκωμιαστικοί· τρόποι δὲ λέγον-
ται, διὰ τὸ συνεμφαίνειν πως τὸ ἦ-
θος κατὰ μέλη τῆς διανοίας διαφέ-
ρουσι δ' ἀλλήλων αἱ μελοποιΐαι, γένει·
ὡς ἐναρμόνιος χρωματική· διατο-

ρος συστήματι· ὡς ὑπατοειδής· μεσο-
ειδής· νητοειδής· τόνῳ· ὡς δώριος· φρύ-
γιος· τρόπῳ· νομικῷ· διθυραμβικῷ· εἰ-
δει· ὡς φαμέν, τὴν μέν, συσταλτικήν,
δι᾽ ἧς πάθη λυπηρὰ κινοῦμεν, τὴν δὲ,
διασταλτικήν, δι᾽ ἧς τὸν θυμὸν ἐξεγείρο-
μεν· τὴν δὲ, μέσην, δι᾽ ἧς, εἰς ἠρεμίαν τὴν
ψυχὴν περιάγομεν· ἤθη δὲ ταῦτα ἐ-
καλεῖτο· ἐπειδή, τὰ τῆς ψυχῆς κατα-
στήματα διὰ τούτων πρῶτον ἐθεω-
ρεῖτό τε καὶ διωρθοῦτο· ἄλλου κινούμενον·
ἀλλὰ γὰρ ταῦτα μέν, ὡς μέρη συνεργεῖ
πρὸς τὴν θεραπείαν τῶν παθῶν· τὸ
δὲ τέλειον ἦν μέλος, τὸ, καὶ τὴν παι-
δείαν ἀνελλιπῆ παρασχόν· ὡς γὰρ
ἐπὶ τῶν ἰατρικῶν φαρμάκων, οὐ-
μία τις ὕλη πέφυκεν ἰᾶσθαι τὰ πε-
πονθότα τοῦ σώματος· ἡ δ᾽ ἐκ πλει-
όνων σύμμικτος ἐν, πλήθει ποιεῖ τὴν ὄ-
νησιν· οὕτω δὲ κἀνθάδε, συγχρώμεν
ἡ μελῳδία πρὸς κατόρθωσιν· τὸ δὲ
ἐξ ἁπάντων, τῶν μερῶν συμπληρω-
θέν, αὐταρκέστατον· ὁ μὲν οὖν ἁρμονι-
κὸς τῆς μουσικῆς τρόπος· ἀρκούν-
τως ἂν ἡμῖν ἔχοι· μεταιὼμεν δὲ λοι-
πὸν ἐπὶ τὴν ῥυθμικὴν θεωρίαν· ῥυθ-
μὸς τοίνυν καλεῖται τριχῶς· λέγεται
γὰρ ἐπί τε τῶν ἀκινήτων σωμάτων· ὡς

ἀνδριάντα· κἀπὶ πάν φαμὲν εὔρυθμον, τινὰ καὶ ἀδιάζειν καὶ
των τῶν κινουμένων· οὕτως ἰδίως ἐπὶ φωνῆς· περὶ οὗ νῦν πρό-
γὰρ φαμὲν εὔρυθμος κεῖται λέγειν· ῥυθμὸς τοίνυν ἐστὶ σύ-
στημα ἐκ χρόνων κατά τινα τάξιν
συγκειμένων· καὶ τὰ τούτων πάθη
καλοῦμεν· ἄρσιν καὶ θέσιν, ψόφον
καὶ ἠρεμίαν· καθόλου γὰρ τῶν φθόγ-
γων διὰ τὴν ὁμοιότητα τῆς κινή-
σεως ἀνέμφατον τὴν τοῦ μέλους
ποιουμένων πλοκήν· καὶ εἰς πλά-
νην ἀγόντων τὴν διάνοιαν· τὰ τοῦ
ῥυθμοῦ μέρη τὴν δύναμιν τῆς με-
λῳδίας, ἐναργῆ καθίστησι· παρὰ μέ-
ρος, μὲν πεπαγμένως δὲ κινοῦντα τὴν
διάνοιαν· ἄρσις μὲν οὖν ἐστι φορὰ
μέρους σώματος ἐπὶ τὸ ἄνω· θέ-
σις δὲ ἐπὶ τὸ κάτω ταὐτοῦ μέρους·
ῥυθμικὴ δέ ἐστιν ἐπιστήμη τῶν προει-
ρημένων χρήσεως· πᾶς μὲν οὖν ῥυθ-
μός, τρισὶ τούτοις αἰσθητηρίοις
νοεῖται· ὄψει, ὡς ἐν ὀρχήσει· ἀκοῇ,
ὡς ἐν μέλει· ἁφῇ· ὡς οἱ τῶν ἀρτηρι-
ῶν σφυγμοί, ὁ δὲ κατὰ μουσικήν, ὑπὸ
δυεῖν, ὄψεως καὶ ἀκοῆς· ῥυθμίζε-
ται δὲ ἐν μουσικῇ, κίνησις σώμα-
τος· μελῳδίαν, λέξις· τούτων δὲ
ἕκαστον καὶ καθ' αὑτὸ θεωρεῖται· καὶ
μετὰ τῶν λοιπῶν ἰδία τε καὶ κατ-

ρου καὶ ἀμφοῖν ἅμα· μέλος μὲν γὰρ
νοεῖται καθ' αὑτὸ μὲν, τοῖς διαγράμ-
μασι, καὶ ταῖς ἀτάκτοις μελῳδί-
αις· μετὰ δὲ ῥυθμοῦ μόνου· ὡς ἐ-
πὶ τῶν κρουμάτων καὶ κώλων· με-
τὰ δὲ λέξεως μόνης, ἐπὶ τῶν κα-
λουμένων κεχυμένων, ᾀσμάτων·
ῥυθμὸς δὲ, καθ' αὑτὸν μὲν, ἐπὶ ψι-
λῆς ὀρχήσεως, μετὰ δὲ μέλους, ἐν
κώλοις· μετὰ δὲ λέξεως μόνης,
ἐπὶ τῶν ποιημάτων, μετὰ πε-
πλασμένης ὑποκρίσεως· οἷ-
ον τῶν Σωτάδου καὶ τινῶν τοιού-
των, λέξις δὲ ὁμοίως μεθ' ἑκατέρου
θεωρεῖται προειπόμεν· ταῦτα δὲ
σύμπαντα μιγνύμενα· τὴν ᾠδὴν
ποιεῖ· διαιρεῖται δὲ ὁ ῥυθμὸς· ἐν
μὲν λέξει ταῖς συλλαβαῖς· ἐν δὲ
μέλει, τοῖς λόγοις τῶν ἄρσεων
πρὸς τὰς θέσεις· ἐν δὲ κινήσει·
τοῖς τε σχήμασι· καὶ τοῖς τού-
των πέρασιν· ἃ δὴ καὶ σημεῖα
καλεῖται· μέρη δὲ ῥυθμικῆς, ε· δι-
αλαμβάνομεν γὰρ περὶ πρώ-
των χρόνων, περὶ γενῶν ποδι-
κῶν· περὶ ἀγωγῆς ῥυθμικῆς· πε-
ρὶ μεταβολῶν, περὶ ῥυθμοποι-
ίας· πρῶτος μὲν οὖν ἐστι χρό-

νος, ἄτομος καὶ ἐλάχιστος, ὃς καὶ
σημεῖον καλεῖται· ἐλάχιστον δὲ καλῶ
τὸν ὡς πρὸς ἡμᾶς, ὅ ἐστι πρῶτος
καταληπτὸς τῇ αἰσθήσει. σημεῖον δὲ
καλεῖται διὰ τὸ ἀμερὴς εἶναι, καθὸ
καὶ οἱ γεωμέτραι τὸ παρὰ σφίσιν ἀ-
μερὲς, σημεῖον προσηγόρευσαν·
οὗτος δὲ ὁ ἀμερὴς, μονάδος οἱονεὶ
χώραν ἔχει· θεωρεῖται γὰρ ἐν μὲν λέ-
ξει περὶ συλλαβὴν, ἐν δὲ μέλει πε-
ρὶ φθόγγον, ἢ περὶ ἓν διάστημα· ἐν δὲ
κινήσει σώματος· περὶ ἓν σχῆμα·
λέγεται δὲ οὗτος πρῶτος· ὡς πρώ-
την ἑκάστου κίνησιν τῶν μελῳδού-
των· καὶ ὡς πρὸς μὲν τῶν λοι-
πῶν φθόγγων σύγκρισιν· πολλα-
χῶς γὰρ ἐν αὐτῷ ἕκαστος ἡμῶν
προσενεγκεῖν τὸ ποιὸν, εἰς τὸ τῶν δι-
αστημάτων ἐμποιεῖν μέ-
γεθος· ἐκ δὲ τούτων ἑξῆς μεγέθους
ὡς ἔφην, ἀκριβέστερον ὁρᾶται·
σύνθετος δὲ ἐστὶ χρόνος, ὁ διαιρεῖσθαι
δυνάμενος· τούτων δὲ ὁ μὲν διπλά-
σιος ἐστὶ τοῦ πρώτου, ὁ δὲ τριπλάσι-
ος· ὁ δὲ τετραπλάσιος· μέχρι γὰρ τε-
τράδος ἦλθεν ὁ ῥυθμικὸς χρόνος·
καὶ γὰρ ἀνάλογον τῷ πλήθει τῶν τοῦ τόνου
διέσεων· καὶ πρὸς μὲν διαστηματικὴν

φωνήν

φωνήν, ἐκφύσεως ἔχει· τούτων δὴ
τῶν χρόνων, οἱ μὲν ἔρρυθμοι λέγονται·
οἱ δὲ ἄρρυθμοι, οἱ δὲ, ῥυθμοειδεῖς· ἔρρυ-
θμοι μὲν, οἱ ἔν τινι λόγῳ πρὸς ἀλλήλους
σώζοντες· τάξιν· οἷον διπλασίονι· ἡ-
μιολίῳ· τοῖς τοιούτοις· λόγος γάρ ἐ-
στὶ β΄ μεγεθῶν ἀνομοίων· ἡ πρὸς ἀλ-
ληλα σχέσις· ἄρρυθμοι δὲ, οἱ παντε-
λῶς ἄτακτοι καὶ ἀλόγως συνειρό-
μενοι· ῥυθμοειδεῖς δὲ, οἱ μεταξὺ του-
των· καὶ τῆς μὲν τάξεως τῶν ἐρρύθ-
μων· τῆς δὲ τῆς ταραχῆς τῶν ἀρρύθ-
μων μετειληφότες· τούτων δὲ, οἱ μὲν
στρογγύλοι καλοῦνται· οἱ μᾶλλον τοῦ
δέοντος ἐπιτρέχοντες· οἱ δὲ περί-
πλεῳ οἱ, πλέον ἤδη, τῇ βραδυτῆ-
τι διὰ συνθέτων φθόγγων ποιούμε-
νοι· ἔτι τῶν χρόνων οἱ μὲν ἁπλοῖ·
οἱ δὲ πολλαπλοῖ· οἳ καὶ ποδικοὶ κα-
λοῦνται· πούς μὲν οὖν ἐστι, μέρος
τοῦ παντὸς ῥυθμοῦ· δι' οὗ τὸν ὅλον
καταλαμβάνομεν· τούτου δὲ, μέ-
ρη δύο· ἄρσις καὶ θέσις· διαφοραὶ δὲ
ποδῶν, ζ΄ κατὰ μέγεθος, οἱ τρίσημοι
τῶν δισήμων, διενηνόχασι κατὰ γέ-
νος· ὡς ἡμιολίου καὶ διπλασίονος
συνθέσει· ἢ τοὺς μὲν ἁπλοῦς εἶναι
συμπλεκομένους τοὺς δισήμους· τοὺς

διὰ συνθέτους, ὡς τοὺς δωδεκασή-
μους· ἁπλοῖ μὲν γάρ εἰσιν· οἱ εἰς χρό-
νους διαιρούμενοι· σύνθετοι δὲ οἱ καὶ
εἰς πόδας ἀναλυόμενοι· τετάρ-
τη, ἡ τῶν ῥητῶν· ὧν μὲν λό-
γον εἰπεῖν τῆς ἄρσεως πρὸς τὴν
θέσιν· καὶ ἀλόγων· ὧν οὐκ ἔχομεν
δι' ὅλου τὸν λόγον αὐτόν, τῶν χρονι-
κῶν μερῶν εἰπεῖν πρὸς ἄλληλα·
πέμπτη δέ ἐστιν· ἡ κατὰ διαίρεσιν
ποιάν· ὅτε ποικίλως διαιρουμέ-
νων τῶν συνθέτων ποικίλοις τοῖς
ἁπλοῖς γίνεσθαι συμβαίνει· ἕκ-
τη· ἡ κατὰ τὸ σχῆμα τὸ ἐκ τῆς δι-
αιρέσεως, ἀποτελούμενον· ἑ-
βδόμη ἡ κατὰ ἀντίθεσιν· ὅταν δυεῖν
ποδῶν· λαμβανομένων ὁ μὲν
ἔχει τὸν μείζονα χρόνον καθηγούμε-
νον, ἑπόμενον δὲ, τὸν ἐλάττονα·
ὁ δὲ ἐναντίως· γένη τοίνυν ἐστὶ ῥυθ-
μικά, γ̄, τὸ ἴσον τὸ ἡμιόλιον· τὸ
διπλάσιον· προστιθέασι δέ τι-
νες καὶ τὸ ἐπίτριτον· ἀπὸ τοῦ
μεγέθους, τῶν χρόνων συνιστάμε-
να· ὁ μὲν γὰρ εἰς ἑαυτὸν συγκρινό-
μενος, τὸν τῆς ἰσότητος γεννᾷ
λόγον· ὁ δὲ δεύτερος, πρὸς τὸν ἕνα,
τὸν διπλασίω, ὁ δὲ γ̄ πρὸς τὰ β̄

τὸν ἡμιόλιον· ὁ δὲ δι, πρὸς τὸν γ΄,
τὸν ἐπίτριτον, τὸ μὲν οὖν ἴσον· ἄρ-
χεται μὲν ἀπὸ δισήμου· πληροῦται
δὲ ἕως ἑκκαιδεκασήμου· διὰ τὸ ἐξα-
σθενεῖν ἡμᾶς τοὺς μείζονας τούτους -
του γένους, διαγινώσκειν ῥυθμούς,
τὸ δὲ διπλάσιον ἄρχεται μὲν, ἀπὸ -
τρισήμου· περαιοῦται δὲ, ἕως
ὀκτωκαιδεκασήμου· οὐκέτι γὰρ τῆς -
τούτοις οὕτου ῥυθμοῦ φύσεως ἀντι-
λαμβανόμεθα· τὸ δὲ ἡμιόλιον ἄρ-
χεται μὲν, ἀπὸ πεντασήμου· πλη-
ροῦται δὲ, ἕως πεντεκαιεικοσασή-
μου· μέχρι γὰρ τοσούτου τὸν τοιοῦ-
τον ῥυθμὸν τὸ αἰσθητήριον κατα-
λαμβάνει· τὸ δὲ ἐπίτριτον, ἄρ-
χεται μὲν, ἀπὸ ἑπτασήμου· γίνε-
ται δὲ, ἕως τεσσάρων καὶ δεκασή-
μου· σπάνιος δὲ ἡ χρῆσις αὐτοῦ·
ἔτι δὲ καὶ ἄλλα γένη, ἅπερ ἄλογα -
καλεῖται· οὐχὶ τῷ μηδένα λόγον
ἔχειν· ἀλλὰ τῷ μηδενὶ τῶν προ-
κειμένων λόγων, οἰκείως ἔχειν·
κατὰ ἀριθμοὺς δὲ μᾶλλον ἢ κατὰ
εἴδη ῥυθμικὰ σώζειν τὰς ἀναλο-
γίας· τῶν ῥυθμῶν τοίνυν, οἱ μὲν
εἰσὶ σύνθετοι· οἱ δὲ ἀσύνθετοι· ἀ-
σύνθετοι μὲν, οἱ ἑνὶ γένει ποδικῷ

χρώμενοι· ὡς οἱ τετράσημοι· σύν-
θετοι δὲ οἱ ἐκ β̄ γενῶν ἢ καὶ πλειόνων
συνεστῶτες· ὡς οἱ δωδεκάσημοι·
μικτοὶ δὲ, οἱ ποτὲ μὲν εἰς χρόνους·
ποτὲ δὲ εἰς ῥυθμοὺς ἀναλυόμενοι·
ὡς οἱ ἑξάσημοι· τῶν δὲ συνθέτων·
οἱ μέν εἰσι κατὰ συζυγίαν, οἱ δὲ κατὰ
περίοδον· κατὰ συζυγίαν μὲν οὖν
ἐστί, β̄ ποδῶν ἁπλῶν καὶ ἀνομοί-
ων σύνθεσις· περίοδος δὲ πλειό-
νων· τῶν δὲ ποδικῶν γενῶν· πρῶ-
τον ἐστὶ διὰ τὴν ἰσότητα τὸ δακτυλι-
κόν· τούτου πρῶτον λέγομεν ἐν τῷ
δακτυλικῷ γένει· ἀσύνθετοι μὲν εἰ-
σὶ ῥυθμοὶ ϛ̄· ἁπλοῖς· προκελευμα-
τικὸς ἐκ βραχείας θέσεως, καὶ βρα-
χείας ἄρσεως· προκελευματικὸς
διπλοῦς· ἐκ β̄ βραχειῶν ἐπὶ θέσιν·
καὶ β̄ βραχειῶν ἐπ᾽ ἄρσιν· καὶ ἀνά-
παλιν ἀνάπαιστος ἀπὸ μείζο-
νος, ἐκ μακρᾶς θέσεως· καὶ β̄ βρα-
ῶν ἄρσεων καὶ μακρᾶς θέσεως·
καὶ μακρᾶς ἄρσεως· σπονδεῖος
μείζων ὁ καὶ διπλοῦς· ἐκ τετρα-
σήμου θέσεως· καὶ τετρασήμου
ἄρσεως· κατὰ δὲ συζυγίαν, γίνον-
ται ῥυθμοὶ δύο· ὧν ὁ μὲν ἀπὸ μεί-
ζονος ἰωνικός· ὁ δ᾽ ἀπ᾽ ἐλάσσονος

καλεῖται· καὶ ὁ μὲν ἀπὸ τοῦ μείζονος
συνίσταται· ἐξ ἁπλοῦ σπονδείου·
καὶ προκελευματικοῦ δισήμου·
ὁ δ' ἐναντίως· δακτυλικὸς μὲν οὖν
ἐκλήθη, διὰ τὴν τῶν συλλαβῶν
τάξιν ἀναλογοῦσαν, τοῖς μέρεσι
τοῦ δακτύλου· ἀνάπαιστος δὲ ἢ
διὰ τὸ ἀνάπαλιν τετάχθαι, ἢ τὸ
τὴν φωνὴν μὲν διαθεῖν τὰς βρα-
χείας· ἀναπαύεσθαι δὲ κατ' αὐτῶ-
σαν ἐπὶ τὴν μακράν· προκελευ-
ματικὸς δὲ ὁ καὶ πυρρίχιος· ἀπὸ
τοῦ κἀν ταῖς πυρρίχαις καὶ τοῖς
ἀγῶσιν αὐτοῖς χρῆσθαι· σπονδεῖ-
ος δὲ, διὰ τὸ ἐπὶ ταῖς σπονδαῖς
αὐτὸν ᾄδεσθαι· ἰωνικοὶ δὲ διὰ τὸ
τοῦ ῥυθμοῦ φορτικοῦ· ἐφ' ᾧ καὶ ἴω-
νες ἐκωμῳδήθη· περὶ μὲν οὖν τοῦ
δακτυλικοῦ· ταῦτα· ἐν δὲ τῷ ἰαμ-
βικῷ γένει ἁπλοῖ μὲν εἰσὶν
οἱ δὲ ῥυθμοί· ἴαμβος· ἐξ ἡμισείας
ἄρσεως· καὶ διπλασίου θέσεως· τρο-
χαῖος ἐκ διπλασίου θέσεως καὶ βρα-
χείας ἄρσεως· καὶ ὁ κατὰ σήμου θέσε-
ως· τροχαῖος σημαντός· ὁ ἐξ ὀκτα-
σήμου θέσεως καὶ τετρασήμου ἄρσε-
ως· σύνθετοι δὲ, οἱ κατὰ συζυγίαν·
βακχεῖοι τῶν ὁ μὲν· πρότερον ἔχει

τὸν ἴαμβον· δεύτερον δὲ, τὸν τροχαῖ-
ον· ὁ δὲ ἐναντίως· κατὰ δὲ περίοδον
ιϛ̅· τέσσαρες μὲν ἐξ ἑνὸς ἰάμβου·
καὶ γ̅ τροχαίων· τούτων ὁ μὲν πρῶ-
τον ἴαμβον ἔχων, καλεῖται τροχαῖ-
ος ἀπὸ ἰάμβου· ὁ δὲ δεύτερον,
τροχαῖος ἀπὸ βακχείου· ὁ δὲ τρί-
τον, βακχεῖος ἀπὸ τροχαίου· ὁ
δὲ τέταρτον, ἴαμβος ἐπίτριτος·
τέσσαρες δὲ, ἕνα τροχαῖον· τοὺς
δὲ λοιποὺς ἰάμβους ἔχοντες· ὁ μὲν
οὖν πρῶτον ἔχων τροχαῖον τοὺς
δὲ λοιποὺς ἰάμβους καλεῖται ἴαμ-
βος ἀπὸ τροχαίου· ὁ δὲ δεύτερον
ἴαμβον ἀπὸ βακχείου· ἢ μέσος
βακχεῖος· ὁ δὲ τρίτον βακχεῖος
ἀπὸ ἰάμβου, ὁ δὲ τέταρτον, τρο-
χαῖος ἐπίτριτος· τέσσαρες δὲ, β̅
τροχαίοις ἴσοις δὲ ἰάμβοις· ἤτοι
κατὰ τὸ ἑξῆς κειμένοις· ἤτοι μὲν
περιέχοντας· τοὺς δὲ περιεχομέ-
νους· ὁ μὲν οὖν πρώτοις τοῖς ἰ-
άμβοις ἔχων ἑπομένοις δὲ τοῖς
τροχαίοις, λέγεται ἀπολοῖς βακ-
χεῖος ἀπὸ ἰάμβου· ὁ δὲ τοὺς τρο-
χαίους προηγουμένους ἔχων· ἑ-
πομένους δὲ τοὺς ἰάμβους, μέ-
σος ἴαμβος· ὁ δὲ τοὺς τροχαί-

οἷς, μέσος τροχαῖος· ἴαμβος
μὲν οὖν ἐκλήθη, ἀπὸ τοῦ ἰαμβί-
ζειν· ὅ ἐστι λοιδορεῖν παρὰ τῶν ἰ-
ον εἰρημένος· πρὸς τοῦτο γὰρ ὁ
ῥυθμὸς διὰ τὸ λογοειδὲς καὶ τὴν
ἀνισότητα τῶν αὐτοῦ μερῶν, πρόσ-
φορος· τροχαῖος δὲ, ἀπὸ τοῦ τὴν
βάσιν ἐπίτροχον ποιεῖσθαι· ὁ δὲ
ὄρθιος, διὰ τὸ σεμνὸν τῆς ὑπο-
κρίσεως καὶ βάσεως· σημαντὸς
δὲ, ὅτι βραδὺς ὢν τοῖς χρόνοις ἐ-
πὶ τέχνη ταῖς σημασίαις χρῆται·
παρακολουθήσεως ἕνεκεν διπλα-
σιάζων τὰς θέσεις· βακχεῖοι δὲ
ἐκλήθη, ἀπὸ τοῦ τοῖς βακχείοις
ἁρμόζειν μέλεσιν· αἱ δεΐδι καὶ τού-
των σχέσεις· ἀπὸ τῶν τῶν πο-
δικῶν τάξεων· τὴν ὀνομασίαν
εἰλήφασιν· ἐν δὲ τῷ παιωνικῷ γέ-
νει ἀσύνθετοι μὲν γίνονται πόδες,
δύο· παίων διάγυιος ἐκ μακρᾶς
θέσεως· καὶ βραχείας καὶ μακρᾶς
ἄρσεως· καὶ ι̅ (μα)χρὸν θέσεως· καὶ-
μακρᾶς ἄρσεως· καὶ β̅ μακρῶν
θέσεων· διάγυιος μὲν οὖν εἴρη-
ται, οἱονεὶ δίγυιος· δύο γὰρ χρῆται ση-
μείοις· ἐπιβατὸς δὲ, ἐπειδὴ
τετράσιν χρώμενος μέρεσιν ἐκ-

δυεῖν· ἄρσεων καὶ δυεῖν διαφόρων
θέσεων γίγνεται· μιγνυμένων δὲ τῶν
γενῶν τούτων, εἴδη ῥυθμῶν γίγνεται
τελειότατα· δύο μὲν δοχμιακά· ὧν τὸ μὲν
συντίθεται ἐξ ἰάμβου καὶ παίωνος
διὰ πέντε· τὸ δὲ δεύτερον, ἐξ ἰάμβου
καὶ δακτύλου καὶ παίωνος· εὐφυέστε-
ραι γὰρ αἱ μίξεις αὗται κατεφάνησαν·
δόχμιοι δὲ ἐκαλοῦντο· διὰ τὸ ποικί-
λον καὶ ἀνόμοιον· καὶ μὴ κατ' εὐθὺ
θεωρεῖσθαι τῆς ῥυθμοποιΐας· γίνον-
ται δὲ καὶ οἱ καλούμενοι, προσοδια-
κοί· τούτων δέ, οἱ μὲν διὰ τριῶν συν-
τίθενται, ἐκ πυρριχίου καὶ ἰάμβου
καὶ τροχαίου· οἱ δέ, διὰ τεσσάρων, ἰάμ-
βου τῇ προειρημένῃ προσοδίᾳ
προστιθεμένου· οἱ δὲ ἐκ συζυγιῶν
βακχείου τε καὶ ἰωνικοῦ τοῦ ἀπὸ μεί-
ζονος· εἰσὶ δὲ καὶ ἄλλοι χορεῖοι, ὁ μὲν
ἰαμβοειδής, ὃς συνέστηκεν ἐκ μακρᾶς
ἄρσεως καὶ δύο θέσεων· καὶ τὸν μὲν
ῥυθμόν, ἔοικε δακτύλῳ· τὰ δὲ τῆς λέ-
ξεως μέρη κατὰ τὸν ἀριθμόν, ἔοικε δακτύ-
λῳ· τὰ δὲ τῆς λέξεως μέρη· κατὰ τὸν
ἀριθμόν, ἰάμβῳ· ὁ δὲ τροχοειδής
ἐκ δύο ἄρσεων καὶ μακρᾶς θέσεως·
κατ' ἀντιστροφὴν τοῦ προτέρου· εἰσὶ
δὲ καὶ ἕτεροι μικτοὶ ῥυθμοὶ τὸν ἀριθ-

μον· ἑξ· κρητικὸς· ὃς συνετέθη μὲν ἐκ-
τροχαίου θέσεως καὶ τροχαίου ἄρσε-
ως· δάκτυλος κατ᾽ ἴαμβον· ὃς σύγκει-
ται ἐξ ἰάμβου θέσεως· καὶ ἰάμβου
ἄρσεως· δάκτυλος κατὰ βακχεῖον
τὸν ἀπὸ τροχαίου· ὃς γίνεται ἐκ τρο-
χαίου θέσεως καὶ ἰάμβου ἄρσεως·
δάκτυλος κατὰ βακχεῖον τὸν ἀ-
πὸ ἰάμβου ὃς ἐναντίως ἐσχημα-
τίσθαι τῷ προειρημένῳ· δάκτυλος
κατὰ χορεῖον τὸν ἰαμβοειδῆ· τῶν-
μὲν γὰρ αὐτῶν εἰς θέσιν, τὸν δὲ εἰς
ἄρσιν δέχεται· δάκτυλος κατὰ χο-
ρεῖον τὸν τροχαιοειδῆ ἀναλόγως·
τῷ προειρημένῳ συγκείμενος· κρη-
τικὸς μὲν οὖν· ἀπὸ ἔθνους ὠνόμα-
σται· οἱ δὲ λοιποί, ἀπὸ τῶν προειρη-
μένων ποδῶν τὰς ὀνομασίας ἔ-
χουσιν· οἱ μὲν οὖν συμπλέκοντες τῇ
μετρικῇ θεωρίᾳ· τὴν περὶ ῥυθμῶν,
τοιαύτην τινὰ πεποίηνται· τὴν
τεχνολογίαν· οἱ δὲ χωρίζοντες, ἑτέ-
ρως ποιοῦσιν· ἀρξάμενοι γὰρ ἀ-
πὸ δισήμου, συντιθέασιν ἀριθμοὺς
μέχρι τῶν συνθέτων ῥυθμῶν· καὶ
τούτοις κατὰ τοὺς προειρημένους
σχηματίζοντες λόγους· ἴσον τε καὶ-
διπλάσιον· ἡμιόλιόν τε καὶ ἐπίτρι-

τον· καὶ τοὺς μὲν, ἀπὸ θέσεως, τοὺς
δὲ, ἀπὸ ἄρσεως· καὶ τοὺς μὲν ἀπὸ
μακρῶν· τοὺς δὲ, ἀπὸ βραχειῶν συν-
τιθέασι· καὶ ἔτι τούτους μὲν,
ἐκ πασῶν βραχειῶν· τοὺς δ' ἀπὸ
μακρῶν· τοὺς ἀναμὶξ· ἀπὸ τελοῦ-
σιν· ἢ πλειόνων ἄζουσι μακρῶν βρα-
χειῶν· ἢ δι' ὁμοίων χρόνων· ἢ δι' ἀ-
νομοίων, τὰς ἄρσεις ταῖς θέ-
σεσιν ἀνταποδιδόντες· καὶ τοὺς
μὲν ὁλοκλήρους· τοὺς δ' ἀπολειμμά-
των· ἢ προθέσεων· ἐν οἷς καὶ τοὺς
κενοὺς χρόνους παραλαμβά-
νουσι· κενὸς μὲν οὖν ἐστὶ χρόνος,
ἄνευ φθόγγου, πρὸς ἀναπλήρω-
σιν τοῦ ῥυθμοῦ· λεῖμμα δὲ, ἐν ῥυθ-
μῷ, χρόνος κενὸς ἐλάχιστος· πρό-
θεσις δὲ, χρόνος κενὸς μακρὸς· ἐ-
λαχίστου διπλασίων· πάλιν δὲ,
τοὺς συνθέτους, ὡς δὴ ποιοῦσι· σύμ-
παντα, τὸν ἀριθμὸν ἐκτιθένται·
καὶ μερίζουσι τοῦτον εἰς σχήματα
ῥυθμικά· κἂν μὲν ἔχῃ λόγον τινὰ
ταῦτα πρὸς ἄλληλα· ὃν οἱ τῶν
ἁπλῶν ῥυθμῶν· σώζουσι χρό-
νοι· ἔρρυθμον ἀποφαίνονται
τὸ σχῆμα· εἰ δὲ μὴ, πάλιν με-
τασχηματίζουσι ἕως ἂν εἰς λό-

τοις ῥυθμικοῖς ἢ τοῦ ῥυθμικοῦ
διαιρέσεως καταρτήσει· οἷον ἐκκει-
μένοις δεκάδος, θεωρείσθω τὰ
σχήματα, ὡς ἔστι ῥυθμοῦ περισσ-
ῶς· ἐκ δυάδος μὲν οὖν καὶ ὀκτά-
δος, οὐκ ἔσται ῥυθμός, οὐ γὰρ ῥυθ-
μὸς ὅτι τετραπλάσιον λόγος· ὥσ-
τε δὲ ὁ δεκάσημος ἔσται ἐκ δισή-
μου καὶ ὀκτασήμου· μερίζω τὴν
ὀκτάδα πάλιν εἰς τριάδα καὶ
πεντάδα· οὐδ᾽ οὕτως ἔσται ῥυθ-
μὸς λόγον· τὸν πέντε πάλιν εἰς
γ̄ καὶ β̄· λέγω τὸν τρία πρὸς ἕκα-
στον τῶν δισήμων· λόγον ἔχειν ἡμι-
όλιον· ὥστε καὶ τὸν δεκάσημον
οὕτω ἔσται ἄρα, διὰ τούτων· πάλιν
εἰ μερίσαιμι τὸν αὐτὸν εἰς τριάδα
καὶ ἑπτάδα, οὐκ ἔσται λόγος τῶν
ἀριθμῶν ῥυθμός· μερίζων τὸν
ἑπτὰ εἰς τρία καὶ δ̄ σώζεται
λόγος, ἔστι τρίτος· ἐξ οὗ φημὶ
οὕτω τίθεσθαι τὸν δεκάσημον· πά-
λιν ποιῶν ταὐτὸν ἐκ τετρασήμου
καὶ ἑξασήμου, οὕτω ἔσται λόγος
ῥυθμικὸς ἡμιόλιος· πάλιν εἰς
δύο πεντασήμους· εἰ μὲν οὖν ἁ-
πλοῖς ἀμφοτέροις· τὸν ἴσον καὶ
ῥυθμικὸν ἕξουσι λόγον· εἰ δὲ συνθέτου

καθὰ προείπον ποιησάμενος
τὴν διαίρεσιν· σωζέτω μὲν δή· τὸν
δεκάσημον ἀγωγὴ δέ ἐστι ῥυθμικὴ
χρόνων τάχος ἢ βραδυτής· οἷ-
ον ὅταν τῶν λόγων σωζομένων
οὓς αἱ θέσεις ποιοῦνται πρὸς
τὰς ἄρσεις διαφόρως ἑκάστου
χρόνου, τὰ μεγέθη προσφερώ-
μεθα· ἀρίστη δὲ ἀγωγὴ, ῥυθμικῆς
ἐμφάσεως· ἡ κατὰ μέσον τῶν θέ-
σεων καὶ τῶν ἄρσεων ποσὴ διά-
στασις· μεταβολὴ δέ ἐστι ῥυθμι-
κὴ, ῥυθμῶν ἀλλοίωσις ἢ ἀγωγῆς·
γίνονται δὲ μεταβολαὶ, κατὰ τρό-
πους ια· κατ᾽ ἀγωγήν· κατὰ λόγον
ποδικόν· ὅταν ἐξ ἑνὸς εἰς ἕνα με-
ταβαίνῃ λόγον· ἢ ὅταν ἐξ ἑνὸς εἰς
πλείους· ἢ ὅταν ἐξ ἀσυνθέτου εἰς
μικτόν· ἢ ἐκ ῥητοῦ, εἰς ἄλογον·
ἢ ἐκ τῶν ἀντιθέσει διαφερόντων
εἰς ἀλλήλους· ἢ ἐκ μικτοῦ, εἰς μικτόν·
ῥυθμοποιία δέ ἐστι δύναμις ποι-
ητικὴ ῥυθμοῦ· τελεία δὲ ῥυθμοποι-
ία ἐν ᾗ τὰ ῥυθμικὰ περιέχεται
σχήματα· διαιρεῖται δὲ εἰς ταὐτὰ
τῇ μελοποιίᾳ· λήψει δι᾽ ἧς ἐπιστά-
μεθα, ποίῳ τινὶ ῥυθμῷ χρηστέον·
χρήσει δι᾽ ἧς ταῖς ἀρίσταις θέσεσι πρέ-

πόρων τῶς ἀποδίδομεν, εἴξει, κα-
θήπερ τοῖς ῥυθμοῖς, ἀλλήλοις συμ-
πλέκομεν· ἐπειδὴ δὲ οἱ τρόποι δὲ ὡσ-
περ ἁρμονίας καὶ ῥυθμοποιίας,
τῷ γένει τρεῖς, συσταλτικὸς· δια-
σταλτικὸς· ἡσυχαστικὸς· τούτων
ἕκαστον εἰς εἴδη διαιροῦμεν, κατὰ αὐ-
τὰ τοῖς ἐπὶ τῆς μελοποιίας, εἰρη-
μένοις ἀρίστη δὲ ῥυθμοποιΐα, ἀρε-
τῆς ἀποτελεστικὴ· καὶ κακίστη δὲ, ἡ τῆς
κακίας· πῶς δὲ γίνεται τούτων ἑκατέ-
ρων· ἐν τῷ παιδευτικῷ λελέξεται·
τινὲς δὲ τῶν παλαιῶν· τὸν μὲν ῥυθ-
μὸν, ἄρρεν ἀπεκάλουν, τὸ δὲ μέ-
λος θῆλυ· τὸ μὲν γὰρ μέλος ἀν-
ενέργητόν τέ ἐστι καὶ ἀσχημάτιστον
ὕλης ἐπέχον λόγον· διὰ τὴν πρὸς
τοὐναντίον ἐπιτηδειότητα· ὁ δὲ
ῥυθμὸς, πλάττει τε αὐτὸ καὶ κινεῖ
τεταγμένως· ποιοῦντος λόγον
ἐπέχων ἐφαψώμεθα· ἀρχὴ μὲν
οὖν ἡ τῆς μετρικῆς, ὁ περὶ στοιχεί-
ων λόγος· εἶθ' ὁ περὶ συλλαβῶν·
εἶθ' ὁ περὶ ποδῶν· εἶθ' οὕτως ὁ πε-
ρὶ τῶν μέτρων· τελευταῖος δὲ, ὁ πε-
ρὶ ποιήματος, πρὸς ἔνδειξιν τοῦ
σκοποῦ, περὶ μετρικῆς παρα-
τιθέμενος· στοιχεῖον μὲν οὖν ἐστι·

φωνῆς ἐνάρθρου μέρος ἐλάχιστον·
τῶν δὲ στοιχείων, τὰ μὲν τόνον καὶ
ἐξακουστὸν ποιοῦντα τὸν ἦχον,
φωνήεντα λέγεται· τὰ δὲ ἄνευ ὀξ(ύ)τ(η)τος
τῆς ἀκοῆς καθικνούμενα, ἡμί-
φωνα· τὰ δὲ μικρὸν καὶ ἀμαυρὸν
ἠχοῦντα πάντα πᾶσιν, ἄφωνα·
οἷον ὀλιγόφωνα, προσαγορεύεται·
τῶν μὲν οὖν φωνηέντων τὰ μὲν
ἐλαχίστῳ χρόνῳ· προενεχθῆναι
δυνάμενα· βραχέα λέγεται· τὰ
δὲ ἐξ ἀνάγκης μείζονι· μακρά·
τὰ δὲ παμφοτερίζοντα τῷ
χρόνῳ, καλεῖται δίχρονα· τῶν δὲ ἡ-
μιφώνων· τὰ μὲν δύο συμφώνοις
ἐν τοῖς μέτροις ἰσοδυναμοῦντα·
λέγεται διπλᾶ· τὰ δὲ ἄλλα παρ' ἓν ὅσ(ον)
συμφώνου δυνάμενα καταστίμ-
πλοκας, ὑγρὰ καλεῖται· τὰ δὲ μη-
δὲ πέρας τούτων κοινωνοῦντα,
διαφορὰς ἰδιαζόντων μέντοι γε
ἀφώνων· τὰ μὲν ἐπὶ πολὺ ἧσ(σον) κι-
νοῦντα τὸ πνεῦμα· ψιλά· τὰ δὲ
ὅθεν μετὰ σφοδρότητος ἐξάγον-
τα, δασέα, τὰ δὲ μεταξὺ ποι-
οῦντα, μέσα προσαγορεύεται·
τούτων συντιθεμένων γίνονται
συλλαβαὶ ταῖς, τῶν φωνηέντων

διαφοραῖς ὧν ἐν τοῖς χρόνοις ὁμώνυμοι·
καὶ αἱ μὲν ἐξ ἑνὸς ἔχουσι τὰς δυνά-
μεις· αἱ δὲ ἐκ πλειόνων· καὶ τού-
των, αἱ μὲν ἐκ φωνηέντων, ὡς
αἱ δίφθογγοι· ἃς ἤτοι κατὰ κρᾶσιν
ἢ κατὰ πλοκήν, κατ᾽ ἐπικράτει-
αν γίνεσθαι φαμέν· αἱ δέ, καὶ διὰ
συμφώνων· ὡς αἱ θέσει σχημα-
τιζόμεναι· αἱ μὲν οὖν μακρὸν ἔχου-
σαι στοιχεῖον, ἢ δίχρονον ἐκτεινόμε-
νον· ἢ βραχὺ στοιχεῖον δίχρονον ὡς συμ-
πλακέν· ἢ δίχρονα δύο ἀλλήλοις·
καλοῦνται μακραί· αἱ δέ, βραχὺ
φωνῆεν· ἢ δίχρονον συστελλόμενον·
ἤτοι καθ᾽ αὑτό· ἢ μετὰ ἁπλοῦ συμ-
φώνου· βραχεῖαι λέγονται· καὶ
αὗται μέν, φύσει καὶ τῶν συλλαβῶν
διαφοραί, γίνονται δέ τινες, καὶ
κατὰ πρόσθεσιν τῶν συμφώνων
μακραὶ συλλαβαί· ἤτοι διὰ τὴν
ἰδίαν θέσιν προσλαβοῦσαι μῆ-
κος· ὡς ἡ εἰς δύο σύμφωνα λή-
γουσα· ἢ εἰς ἓν διπλοῦν ἢ καὶ ἀμ-
φοτέρων· ὡς ἡ λήγουσα τε εἰς ἁ-
πλοῦν· ἔχουσα τε ἐπιφερόμενον
ἁπλοῦν· τούτων οὖν οὕτως ἐ-
χόντων, δέδεικται τὰ μεγέθη τῶν
στοιχείων, τοῖς διαστήμασιν ἰσάριθ-

μα τοῦτο μου· τὸ μὲν γὰρ ἐλάχι-
στον αὐτῶν τοῦ μεγίστου τεταρτη-
μόριόν ἐστιν ὡς ἤδη ἐσιός, τοῦτο μου·
τὸ δὲ μέσον, ἥμισυ μὲν τοῦ μεί-
ζονος· διπλάσιον δὲ τοῦ ἐλα-
ττονος· τῆς μὲν γὰρ μακρᾶς
ἡμίσειας· βραχεῖα, τῆς δὲ βρα-
χείας διπλοῦν σύμφωνον· δῆ-
λον δέ, ἐκ τοῦ τὴν βραχεῖαν· ἢ δι-
πλοῦ συμφώνου παρατεθέν-
τος· ἢ ἑνὸς φωνήεντος, γενέ-
σθαι μακρὰν ἐπὶ τῶν συλλαβῶν,
αἱ μὲν οἷαι καθ' ἑαυτὰς θεωροῦν-
ται, τοιαῦται καὶ ταῖς παρα-
θέσεσι τῶν ἑπομένων φαίνον-
ται· αἱ δὲ μεταβάλλουσαι· ὡς
ἔκ τε τῶν θέσει μακρῶν· καὶ τῶν
κοινῶν ἐστὶ συνιδεῖν· ἐκ τούτων τῶν
εἰρημένων διαφόρων ἐν ταῖς
συλλαβαῖς, διάφοραι συνίσταν-
ται τῶν λεγομένων κοινῶν ἢ
μέσων ἐν τοῖς ποσί· μέσαι μὲν
οὖν εἴρηνται καὶ κοιναί, διὰ τὸ
ποτὲ μὲν βραχείας· ποτὲ δὲ μα-
κρὰς· ἐκπληροῦν χρείαν· τού-
των δὲ αἱ μὲν ἀπὸ τῶν φύσει
μακρῶν λαμβάνονται, ὅταν
εἰς φωνῆεν μακρὸν λήγῃ συλλα-

μὴ τῆς ἑξῆς ἀπὸ φωνήεντος
ἀρχομένης· τὸ γὰρ οὐκ ἔχειν μετα-
ξὺ σύμφωνον τὸ σῶμα ποιοῦν αὐτὰς
κεχηνότας ἀπεργαζομέναι τοὺς
ἤχους· τήν τε τῆς φωνῆς διαλύουσιν
εὐτονίαν· ἥ τε ἡμετέρα προσοῦ δὴ τοῦ-
τὴν δευτέραν ἐπιλαμβάνειν συλλαβὴν
διὰ τὴν τῆς φωνῆς συνέχειαν· πρὶν
ἐντελῆ προσενεγκᾶσθαι τὴν προτέ-
ραν· τῆς τοῦ καθηγουμένου τόνου
μακρότητος ἀποτέμνεται· αἱ δ᾽ ἀ-
πὸ τῶν φύσει βραχειῶν, ὅταν εἰς
μέρος λόγου συλλαβὴν λήγῃ· ἡ γὰρ
μεταξὺ διάστασις· τῆς τε τοῦ
προτέρου τελευτῆς καὶ τῆς ἀρ-
χῆς τοῦ δευτέρου, μῆκος τῇ συλ-
λαβῇ παρέχεται· αἱ δὲ ἀπὸ τῶν
θέσει μακρῶν· ὅτε δυεῖν ἐπιφε-
ρομένην συμφώνοιν· τὸ μὲν ἄ-
φωνον ἐπὶ· τὸ δὲ, ὕστερον· ὑπὸ γὰρ
τοῦ καθηγουμένου τῆς συμπλο-
κῆς στοιχείου ταχὺ φωνοτέρου
τυγχάνοντος· ὁ τοῦ δευτέρου
τυγχάνοντος· ὁ τοῦ δευτέρου
λεπτότερος ὤν, ἐκθλίβεταί τε καὶ
πιέζεται· πάλιν τούτων τινὲς,
ἀπὸ μὲν τῶν φύσει μακρῶν, ἤπου
κοιναὶ γίνονται· ὅταν ἡ φωνήεν-

τῶν πασχοῖσα, συλλαβὴ σύγ-
κρουσιν, εἰς μέρος λόγου τελήγη·
καὶ διὰ φθόγγων γίνεται τῶν κατὰ
σύμπλοκην· λέγω δὲ, τῶν διὰ-
τοῦ στῶ τιθεμένον· εὐτονώτε-
ροις γὰρ αὗται ποιοῦνται τοῖς
ἤχοις· ἀμφότερα φανερῶς ἐκ-
μοῶσαι τὰ φωνήεντα· ἀπὸ
δὲ τῶν βραχειῶν ὁ ταῦ μὲν εἰς
μέρος λόγου λήγουσα συλλαβὴ
φώνην κεν τῶν πάχη σύγκρουσιν
λίαν ἀσθενής· μῆκος δὲ προσ-
λαμβάνουσα πλέον ἢ κατὰ
κοινὴν εἰς τὸ ἀρκτικὸν, τῆς μετ' αὐ-
τὴν συλλαβῆς στοιχεῖον, συμβαί-
νει δὲ ἀσθενεῖσθαι· αἱ δὲ ἀπὸ τῶν θέ-
σει μακρῶν ὅτε καθηγησαμένου
καὶ τὴν ἐπιφορὰν ἀφώνου τῶν
τῶν ἀμεταβόλων συμπλέ-
κεται· τῶν γὰρ λοιπῶν ὑγρῶν,
κατὰ προέσιν πνεύματος ἐκ-
φωνουμένων· τοῦτο μόνον ἔμ-
φαντον τεσ ἡμιφώνων τοῖς πόροις
ἐκφωνεῖν βιάζομαι κατὰ δὴ τὸν
αὐτὸν καιρὸν ἐναντίο πάθου
τὸ φωνητικὸν ὄργανον· οὐ κατὰ πι-
κότως κολούει τὴν τῆς φωνῆς
ὁμαλότητα· τοῖς παροῦσι καὶ

ἀμετάβολοι· αὐτῶ οὖν τὸ λέξω-
μεν ἀμφότερα τετραχῶς ἐ-
θέλοιμεν ἐκφέρειν, οὐκέτι κοινὴν
θέσει δὲ μακρὰν τὴν συλλαβὴν
ποιησόμεθα· ἀμέλει καὶ τῶν ἀρ-
χαίων τινὲς κινηθέντες, τὴν προ-
κειμένην τούτων βραχεῖαν πολ-
λαχοῦ ποιεῖν· τὸν μὲν τοῦ μετὰ
ῥα τρέχουσι φθόγγον· τὸν δὲ τοῦ
ν μόνον· ἐξ ἀκουστοῦ ἀποτελ-
λοῦσι· χρὴ δὲ κἀκεῖνο θεωρεῖν· ὡς
εἰ μὲν μονήρη τὴν συλλαβὴν ἐθέ-
λοιμεν κρίνειν· ἐκ τῶν ἑαυτῆς στοι-
χείων τὸ μέγεθος αὐτῆς ἡμῖν ἐ-
πιγνωστέον· εἰ δὲ ἐν ποδικῷ
σχήματι, καὶ τὴν ἑξῆς προσ-
ληπτέον· πρὸς ἐντελῆ γνῶσιν
τῆς τοῦ ποδὸς ἐπισκέψεως·
αὐτίκα πᾶν τοῦ μέτρου τὴν
τελευταίαν ἀδιάφορον ἀπο-
φαινόμεθα· μηδεμιᾶς αὐτῇ
συλλαβῆς ἐπιφερομένης· δι-
ῆς ἀφωρισμένως ἔνος μετέ-
θοις αὐτὴν ἂν εἰπεῖν προσή-
κει· τούτων δὴ οὕτω τιθεμένων
ἀλλήλαις γίνονται πόδες πα-
ρὸ καὶ συστήματα συλλαβῶν,
εἴρηται δὲ ὁ μὲν οὕτω τεθεῖσαι γί-

νονται τέσσαρες· ἡ γὰρ ἀμφω-
βραχείας ἔχων, γίνεται πυρρί-
χιος ὁ καὶ περιαμβικός· ἡ μακρὰς
σπονδεῖος· ἡ βραχεῖαν καθηγου-
μένην ἑπομένην δὲ μακρὰν· ἴ-
αμβος· ἡ ἐναντίως τροχαῖος·
τριῶν δὲ συντιθεμένων, ὀκτώ· ἡ γὰρ
τὰς τρεῖς βραχείας ἔχει, καὶ ποι-
εῖ χορεῖον· ἡ τὰς τρεῖς μακρὰς, καὶ
ποιεῖ μολοσσόν· ἀπὸ ἔθνους οὕτω
προσαγορευόμενον· ἡ μίαν μα-
κρὰν· τὰς λοιπὰς βραχείας·
κατὰ τὰς τρεῖς χώρας, ποιεῖ δά-
κτυλον· ἀμφίβραχυν ἀνάπαιστον·
ἡ μίαν βραχεῖαν καὶ δύο μακράς,
ἀμοιβαδὶς καὶ γίνεται βακχεῖος·
ἀμφίμακρος· παλιμβάκχειος·
τεσσάρων δὲ συλλαβῶν ἐκτεθεισῶν
γίνονται πόδες δεκαέξ· οὓς δυ-
νατὸν διὰ τῶν ὁμοίων θεωρεῖν με-
θόδων· ἡ γὰρ τέσσαρας ἔχων βρα-
χείας, καλεῖται προκελευσματι-
κός· ἡ τέσσαρας μακράς, δισπον-
δεῖος· ἡ δύο βραχείας ἡγουμένας
ἔχων· δύο δὲ μακρὰς ἑπομένας·
ἰωνικὸς ἀπ' ἐλάσσονος· ἡ ἐναν-
τίως ἐσχηματισμένος· ἀπὸ μεί-
ζονος· ἡ περιέχουσα ἔχων τὰς

μακρὰς ἐν μέσῳ δὲ τὰς βραχείας·
χορίαμβος· ἢ ἐναντίως ἔχων ἀντί-
σπαστος· ἢ τὰς μὲν μακρὰς ἐν περι-
τταῖς ἔχων χώραις· τὰς δὲ βρα-
χείας ἐν ταῖς ἀρτίοις, διτρόχαιος·
ἢ ἐναντίως ἔχων διίαμβος· ἢ μίαν
μὲν μακρὰν ἔχων· τὰς δὲ λοιπὰς
βραχείας, παίωνας ποιεῖ τέσσα-
ρα, ἀπὸ τοῦ τόπου τῆς μακρᾶς
τὴν ὀνομασίαν λαμβάνοντας·
τὸν μὲν πρώτην ἔχοντα, πρῶτον·
τὸν δὲ δευτέραν, δεύτερον· καὶ τοὺς
ἑξῆς ἀνάλογον· εἰ δὲ μίαν μὲν ἔ-
χοι βραχεῖαν· τὰς δὲ λοιπὰς μα-
κράς, τοὺς ἐπιτρίτους ἀποτε-
λεῖ· ἀπὸ τῆς χώρας ἐν ᾗ τίθεμεν
τὴν βραχεῖαν κατὰ ταὐτὰ τοῖς
παίωσι τὴν ὀνομασίαν λαμβά-
νοντας, ἐπίτριτον δὲ καλεῖται
τὸ σχῆμα· ἐπεὶ συμβέβηκεν ἐκ τοῦ
ὅλου λόγον ἔχον τὸν ἐπίτριτον·
ὃν ἔχει τέσσαρα πρὸς τρία· ὁ μὲν
γὰρ τῶν δισυλλάβων ἐν αὐτῷ,
τρίσημος· ὁ δὲ τετράσημος· τού-
των πάλιν συντιθεμένων, γί-
νονται πόδες δισυλλάβων μὲν
καὶ τρισυλλάβων, πεντασύλλα-
βοι λβ'· τῶν δὲ τρισυλλάβων ἀλ-

λήλοις παρατιθεμένων· ἑξα-
σύλλαβοι εἰσί· οἷς καὶ μετρικὰς
προσαγορεύουσι συζυγίας· μέχρι
γὰρ ἑξάδος ἡ σύνθεσις συλλαβῶν ἐστι
καὶ ποδός· καὶ μέτρα διὰ τὴν τοῦ
ἀριθμοῦ τελειότητα, καὶ τὸ περιέ-
χεσθαι πάντας ἐν αὐτῷ τοὺς
τῆς συμφωνίας λόγους· ἐκ δὴ
τῶν ποδῶν συνίσταται τὰ μέτρα·
μέτρον μὲν οὖν ἐστι σύστημα πο-
δῶν ἐξ ἀνομοίων συλλαβῶν συγ-
κείμενον, ἐπὶ μῆκος σύμμετρον·
διαφέρειν δὲ τοῦ ῥυθμοῦ φασίν·
οἱ μὲν ὡς μέρος ὅλου· τὸ μὴν γὰρ
ῥυθμοῦ φασὶν αὐτό· παρὸ καὶ
μέτρον εἰρῆσθαι διὰ τὸ μείρειν ὃ
σημαίνει μερίζειν· οἱ δὲ κατὰ τὴν
ὕλην· τῶν γὰρ γινομένων ἐκ δυ-
εῖν ἀνομοίων τοὐλάχιστον περαινο-
μένων, τὸν μὲν ῥυθμὸν ἐν ἄρ-
σει καὶ θέσει τὴν οὐσίαν ἔχειν· τὸ
δὲ μέτρον ἐν συλλαβαῖς, καὶ
τῇ τούτων ἀνομοιότητι· ταύτῃ τοι
ῥυθμὸν μὲν συνίστασθαι καὶ διὰ
τῶν ὁμοίων συλλαβῶν· καὶ διὰ
τῶν ἀντιθέτων ποδῶν· μέτρον
δὲ διὰ μὲν τῶν πάσας ὁμοίως
ἐχόντων μηδὲ πώποτε· διὰ δὲ τῶν

ἀντιθέτων ὀλιγάκις· τῶν δὲ μέτρων
πρωτότυπα μέν ἐστι κατὰ τὸν
ἀριθμὸν· ἐννέα· δακτυλικόν· ἀνα-
παιστικόν· ἰαμβικόν· τροχαϊκόν·
χοριαμβικόν· ἀντισπαστικόν· ἰω-
νικὰ δύο· παιωνικόν· τούτων τὰ-
μὲν ἄλλα μέχρι τεσσάρων ποδῶν
εὐπρεπῶς αὔξηται· τὸ δὲ δακτυ-
λικόν· ὅτι καταληκτικὸν γίνεται,
μέχρι ἕξ· τὸ μὲν γὰρ καθένα μαι-
νεται πόδα· καὶ προχωρεῖ συνεγ-
γὺς εἰκοσιτεσσάρων χρόνων ἰσάριθ-
μον ταῖς σὺν τῷ διαπασῶν δι-
έσεσι· τὰ δὲ κατὰ διποδίαν ἢ συζυ-
γίαν καὶ προχωροῦν χρόνων· ἢ ὀ-
λίγῳ πλειόνων· ὅθεν τὶ μὲν τὰ
ὑπερβαίνοντα· τὸ προειρη-
μένον τῶν χρόνων πλῆθος
δι' ἀροσίωπες εἰς δύο, σύνθετα,
προσηγόρευσαν· τῶν δὲ μέτρων
τὰ μὲν ἀκατάληκτα· καλεῖται
ὅσα ταῖς ἐνούσαις συλλα-
βαῖς συναπαρτίζει τοὺς πο-
δας· ἃ δὲ καταληκτικὰ, ὅσα συλ-
λαβὴν ἀφαιροῦ, τοῦ τελευταίου
ποδὸς· σεμνότητος ἕνεκεν τῆς
μακροτέρας καταλήξεως· τὰ
δὲ βραχυκατάληκτα· οἷς ποδὸς

δισύλλαβος ἐλλείπει· τὰ δ' ὑπερκατάληκτα· ἐν οἷς μία συλλαβὴ περιττεύει· εἰ γὰρ ποὺς πλεονάζοι, ταυτὸν γίνεται τῷ βραχυκαταλήκτῳ· καὶ μὴν ἃ μὲν αὐτῶν ἐστὶ δίμετρα· ἃ δὲ τρίμετρα· ἃ δὲ τετράμετρα· ἕως ἑξ· ἐπὶ τὰ μὲν, διὰ μόνον τῶν ἰσοχρόνων γίνεται ποδῶν· τὰ δὲ, καὶ διὰ πλεοναζόντων τοῖς χρόνοις· καὶ τὰ μὲν, δέχεται τοὺς ἰσοχρονοῦντας· εἰδέναι τὸ τὴν αὐτῶν διατηρεῖν φύσιν· τὰ δ' οὐχί, ὅσα διὰ ταύτην τὴν αἰτίαν· εἰς ἑτέρου μέρους φαντασίαν περιΐσταται· πάλιν τὰ μὲν αὐτῶν ἐξ ὁλοκλήρων ἄρχεται τῶν ποδῶν· ὧν ἐπωνυμίας ἔχει· τὰ δὲ ἐξ ἐλαττόνων ὡς τὰ λογαοιδικά· καὶ τὰ μὲν· ποιεῖται συνεκφωνήσεις συλλαβῶν· χρείας ἕνεκεν μέτρου· τὰ δὲ οὐχί· συνεκφώνησις δέ ἐστιν, ὅτε διὰ τὴν τοῦ ποδὸς συμμετρίαν δύο συλλαβὰς συμφώνους οὐκ ἐχούσας μεταξὺ· ἤτοι δύο βραχείας ἀντὶ μιᾶς βραχείας· ἢ βραχεῖαν καὶ κοινὴν ἀντὶ κοινῆς· ὁ περὶ-

νεται σπανίως πάλιν διὰ βρα-
χείας· ἢ βραχεῖαν καὶ μακράν·
ἢ κοινὴν καὶ μακρὰν ἀντὶ μακρᾶς
παραλαμβάνομεν· εἴπωμεν
δὴ βραχέα περὶ ἑκάστου· ποιη-
σάμενοι τὴν ἀρχὴν ἀπὸ δακτυλι-
κοῦ· σεμνότερον γὰρ ἁπάντων
διὰ τὸ τὴν μακρὰν ἀεὶ ποτε κα-
θηγουμένην ἔχειν· τὸ δὴ δακτυ-
λικὸν ἐπιδέχεται δάκτυλον σπον-
δεῖον ὡς ἰσοχρόνων· προκελευσ-
ματικὸν δὲ οὐδαμῶς· ἀπρε-
πὲς γὰρ διὰ τὸ τῶν βραχειῶν
πλῆθος· ἄρχεται δὲ ἀπὸ διμέ-
τρου· καὶ προεισὶν ἕως ἑξαμέ-
τρου· ὅτε μὲν ἀκατάληκτον· ὅ-
τε δὲ καταληκτικόν· ἔοικε καὶ τοῦ-
τροχαίου κατὰ τέλος δεκτικὸν
γινομένων· ἰδίως ἡρῷον καλεῖ-
ται· μόνον δὲ τὸ ἑξάμετρον ταύ-
της τυγχάνει τῆς προσηγορίας·
σεμνότερον γὰρ γίνεται διά τε τὸ
μέγεθος· καὶ διὰ τὸ συλλαβὴν μὲν
κατ' ἀρχὴν αὐτῷ μακράν· λήγειν
δὲ εἰς κατάληξιν εὐμεγέθους διὰ
σχήματος· τομαὶ δὲ εὐπρεπεῖς
αὐτοῦ· πρώτη μέν· ἡ μετὰ δύο
πόδας εἰς συλλαβήν· ἡ καὶ δι-

πλασιαζομένη, ποιεῖ τὸ ἐλεγεῖ-
ον· οὐ πέφυκεν ἀρετὴ τὸ τὴν μὲν
τῆς πρώτης συζυγίας συλλαβὴν
περὶ τὴν ἐξ ἀνάγκης μακρὰν ἔ-
χειν· τὴν δὲ δευτέραν συζυγίαν
ἀναμφιλόγως ἐξ ἀμφοῖν σύγ-
κεῖσθαι δακτύλων· δευτέρα· ἡ
μετὰ δύο πόδας· τρίτη δὲ, ἡ
μετὰ τρεῖς εἰς συλλαβήν· τε-
τάρτη καθ' ἐνίους, τέσσαρες δα-
κτύλοι· ἢ ὅπερ ἄμεινον, τέταρ-
τος τροχαῖος. ἡ γὰρ εἰς ὅμοια
μέρη διαίρεσις· μᾶλλον ἢ τὸ μὴ
καλεῖται τὸ μηδὲ ἔτι, μόριον με-
τρου· τὸ πρῶτον ἐν αὐτῷ λόγου
ἀπαρτίζον· ὑπὲρ δύο πόδας
εἰς ἀνόμοια μέρη διαιροῦν τὸ
μέτρον· τοῦ δὲ γενικοῦ δακτυ-
λικοῦ πεποιήκασιν οἱ μετὰ ταῦ-
τα εἴδη· δίμετρον· τρίμετρον· τε-
τράμετρον· πεντάμετρον· και-
νοῦσι δέ τινες αὐτὸ καὶ κατὰ συ-
ζυγίαν ποιοῦντες τετράμε-
τρα καταληκτικά· τινὲς δὲ καὶ
ταῖς πρώταις χώραις μόναις
ἀμείβοντες τὸν δάκτυλον·
καὶ τὰς ἀνίσους χρόνους αὐτῶν
τῶν δισυλλάβων τιθέντες ποι-

οὐσὶ τὰ καλούμενα λογαοιδικά·
τὸ δ' ἀντίστροφον τούτω τὸ ἀναπαι-
στικὸν, δέχεται, τοὺς δακτύλους·
σπανιώτερον γὰρ ὑπ' αὐτοῦ γίνεται·
καὶ τὸν ἰσόχρονον σπονδεῖον καὶ
τὸν προκελευσματικόν· καὶ ἄρ-
χεται μὲν ἀπὸ διμέτρου· καὶ
προχωρεῖ μέχρι τετραμέτρου·
καὶ ὅτε μὲν ἐστὶν ἁπλοῦν, καθ' ἕ-
να πόδα γίνεται· ὅτε δὲ σύν-
θετον δι' ἣν προείπομεν αἰτίαν
κατὰ συζυγίαν ἢ διποδίαν·
διποδία δ' ἐστὶ, πούς τετρασύλ-
λαβος· τί δ' ἡ συζυγία, προει-
ρήκαμεν· κατὰ εἴδη δὲ τῶν κα-
ταλήξεων ἐπιδέχεται πάσας ὧν
καὶ τὴν τῶν λογαοιδικῶν μεθό-
δόν τε καὶ χρῆσιν· οὐ κατὰ τὰς
πρώτας χώρας μόνον· πόδας
δυσὶ συλλαβαῖς βραχυσημοτέ-
ροις· παραλαμβανόμενον· ἀλλὰ
καὶ κατὰ τὰς τελευταίας, τὸν
βακχεῖον· τὸ δὲ ἰαμβικὸν δέ-
χεται δάκτυλον· τρίβραχυν· ἀ-
νάπαιστον· τροχαῖον δὲ· οὐδ' ὅ-
λως· εἰς ἕτερον γὰρ τραπήσε-
ται μέτρον· σπονδεῖον δέχεται
μὲν· ἐν ταῖς περιτταῖς· ἐν δὲ—

ταῖς ἀρτίοις, οὐδαμῶς ὅταν
χωρίσας αὐτὸ τῆς πρὸς τὸ δα-
κτυλικὸν ὁμοιότητος· ὁ κατὰ
τὴν ἀρτίαν χώραν· ἴαμβος ἦ-
τι· διὸ καὶ τοῖς ἰσοχρόνοις τῷ
σπονδείῳ· λίαν σπανίως· καὶ
κατὰ τὰς περιττὰς παρα-
λαμβάνει· δέχεται δὲ ἐπὶ τε-
λευτῆς ἐν τοῖς ἀκαταλήκτοις·
καὶ πυρρίχιον· σπονδεῖον δὲ ὅ-
τε τὸ καλούμενον κῶλον γίνε-
ται· ἐν δὲ τοῖς καταληκτικοῖς
ἀμφίβραχυν ἢ βακχεῖον διὰ
τὴν ἀδιάφορον· ἀρξάμενον δὲ
ἀπὸ διμέτρου προχωρεῖν με-
χρὶ τετραμέτρου· καὶ αἱρεῖται
κατὰ ποδίαν· ἐπιδέχεται δὲ καὶ
τὰ τῶν καταλήξεων εἴδη παν-
τα· καὶ τομὰς ἐν παρεπεῖς·
τήν τε μετὰ δύο πόδας εἰς συλ-
λαβὴν· ἣ πενθημιμερὴς κα-
λεῖται· καὶ τὴν μετὰ τρεῖς, ἣ
τὶς ἑφθημιμερὴς ὀνομάζεται·
τὸ δ᾽ ἀντικείμενον τούτῳ τρο-
χαϊκὸν, δέχεται τρίβραχυν δά-
κτυλον ἀνάπαιστον· σπονδεῖ-
ον δὲ, ἐν ταῖς ἀρτίοις μόναις
διά τε τὰς ἐπὶ τοῦ ἰάμβου

προρρηθείσας ἡμῖν αἰτίας, καὶ ὅτι
ἐφεξῆς πολλῶν κειμένων μα-
κρῶν, ἡ τῆς φωνῆς συνέχεια, τοῖς
ἐπαλλήλοις μεταθέσι τῶν συλλα-
βῶν διακόπτεται· εἰ δὲ εἴη κατα-
ληκτικὸν· καὶ ἀμφίμακρον· ἢ δα-
κτύλον· καὶ ἄρχεται μὲν, ἀποδι-
μέτρου· πρόεισι δὲ ἄχρι τετραμέ-
τρου· γίνεται δὲ καὶ χωλὸν· ὅταν
τις ἐν τῇ τελευταίᾳ τῶν περιτ-
τῶν χώρᾳ σπονδεῖος ἐμπέσῃ·
χαριεστέρα δ᾽ αὐτοῦ τομὴ εἰς τρο-
χαίους· ἐπιδέχεται δὲ καὶ τὰς
ἄλλας· τὰ δὲ ἐκ τούτων σύγκει-
μενα χοριαμβικόν τέ ἐστι καὶ ἀν-
τισπαστικόν· τὸ μὲν οὖν χοριαμ-
βικὸν, ἐπιδέχεται διποδίαν
ἰαμβικὴν καθαρὰν καὶ τὴν ἑ-
πτάσημον σπανίως καὶ συζυ-
γίαν· καὶ τὴν ἰσόχρονον αὐτῇ·
ἄρχεται ἀπὸ διμέτρου· καὶ προ-
εισὶν ἕως τετραμέτρου· ὅ τε ἐστὶν
ἁπλοῦν· ἔτι δὲ καὶ τῶν καταλή-
ξεων· τὰς διαφορὰς ἐπιδέ-
χεται· τὸ δὲ ἀντισπαστικὸν, με-
τρεῖται μὲν τῷ ὁμωνύμῳ πο-
δί· πολλάκις δὲ τὸν πρότερον
δισύλλαβον· καὶ εἰς τοὺς ἄλλους

δισυλλάβοις μεταβάλλει· εὐ-
πρεπὲς τὸ ὕστερον μὲν ἰὼ καὶ εἰς σπον-
δεῖον· ἀναμίως δὲ, εἰς τοὺς λοι-
ποὺς· καὶ ἀρξάμενον ἀπὸ
διμέτρου, προεῖσιν ἄχρι τετρα-
μέτρου· τὰς εἰρημένας χρή-
σεις τοῦ κατ' ἀρχὴν ποδός, ἐν
πάσῃ χώρᾳ παραλαμβάνον
τὴν καταλήξιν εὐπρεπείας
ἕνεκεν εἰς ἰαμβικὴν καθαρὰν
ποιεῖται· ὅπερ δὲ καταληκτικὰ
γίνεται· δέχεται καὶ τὸν ἀμφί-
βραχυν ἢ τὸν βακχεῖον· καὶ ὅ-
τε μὲν ταῖς περιτταῖς προκει-
μένης ἀντισπαστικῆς, ἐπι-
φέρει τὴν ἰαμβικήν· ὅπερ δὲ τοὐ-
ναντίον ποιεῖ· ὁμοίως καὶ τῆς
ἰαμβικῆς τὸν πρότερον πό-
δα· τρέπων εἰς τοὺς λοιποὺς
δισυλλάβους· ἐνίοτε δὲ· εἰς τρί-
βραχυν ἢ ἀνάπαιστον· διὰ τὴν
πρὸς τὸν ἴαμβον συγγένειαν·
τῶν δὲ ἰωνικῶν, τὸ μὲν ἀπὸ
μείζονος· σύγκειται διὰ σπον-
δείου καὶ πυρριχίου· τρέπει
δὲ πολλάκις ἐν τῇ πρώτῃ δι-
ποδίᾳ, τὸν σπονδεῖον εἰς ἴαμ-
βον κατὰ τὸ ἂν μέγεθος μέτρου

μέχρι τετραμέτρου· καὶ τῶν κα-
ταλήξεων εἴδη δέχεται· τροχαϊ-
κὴν δὲ δέχεται διποδίαν· κατὰ
μὲν τὴν περιττὴν χώραν καθα-
ρὰν, κατὰ δὲ τὴν ἀρτίαν· καὶ ἐ-
πίσημον· πολλάκις δὲ καὶ
τὸν μολοσσὸν παραλαμβάνει
σωατὸν τὰς βραχείας εἰς μα-
κράς· ἡ συζυγίαν ἰαμβικὴν
πεντασύλλαβόν τε καὶ ἑξα-
σύλλαβον λύον τὰς μακρὰς
εἰς βραχεῖ· τὸ δ' ἀπελάστομος
μετρεῖ μὲν ὁ ποιός· ὁ ὁμώνυμος·
πολλάκις δὲ καὶ ὁ διτροχαῖος·
ὅν ὅταν παραλαμβάνω-
μεν τὴν προκειμένην διπο-
δίαν, τρίτων παιῶνα ποι-
οῦμεν· ἵνα ἐκ τριῶν ἐφεξῆς
μακρῶν κειμένων, κληρὸν
γίνηται τὸ ποιὰ δέχεται δὲ καὶ
τὰ τῆς καταλήξεως εἴδη,
καὶ ποικίλεται τάς τε βραχεῖ
εἰς μακρὰς σωατὸν· καὶ λύον
τὰς μακρὰς εἰς βραχείας·
τὸ δὲ παιωνικὸν· καλεῖται
μὲν καὶ κρητικὸν· διὰ τὸ ποτὲ
μὲν τοῖς παίωσι καθαροῖς·
ποτὲ δὲ τοῖς κρητικοῖς μετρεῖ-

σθαι· αὔξεται δὲ μέχρι τετρα-
μέτρου· τινὲς δὲ καὶ πεντάμε-
τρα πεποιήκασι· γίνεται δὲ ταῦ-
τα καὶ διὰ τοῦ τετάρτου παίω-
νος καθαροῦ· οὐ πολλάκις ἤ-
τοι τὰς δύο μέσας βραχείας
συνάγοντες τὰς εἰς μακρὰν δια-
βακχείου καθαροῦ ποιοῦσι βα-
κὸν· ἢ τὴν τελευταίαν μακρὰν
εἰς δύο βραχείας λύοντες· δύ-ό-
λων βραχειῶν ταὐτὸ ποιοῦσι
τὴν κατακλεῖδα μόνην· τέταρ-
τον παίωνα τηροῦντες· διὰ
τὸ τῆς μακρᾶς εἰς ἀνάπαυ-
σιν εὐπρεπές· τὰ μὲν οὖν ἁ-
πλᾶ μέτρα καὶ πρωτότυπα·
ταῦτα ἐστίν· γίνεται δὲ ἐκ τού-
των τῶν αὐτῶν μὲν διπλασι-
αζομένων μέτρων· σύνθετα·
τῶν δ' ἀνομοίων, ἀσυνάρτη-
τα· τούτων δὲ, τὰ μὲν ἐκ δυεῖν,
μέτρων, ἐν ᾧ τὸ τέλει κῶλον·
τὰ δὲ ἐκ μέτρου καὶ τομῆς ἢ
μέτρου· καὶ τομῶν· ἢ ἐκ πα-
σῶν τομῶν ἢ ἀνάπαλιν το-
μῆς καὶ μέτρου καὶ μέτρων·
ὧν ποικίλη μὲν ἥ τε χρῆσις· καὶ
ἡ ἐπακριβὲς τεχνολογία· εὐ-

χερὴσ δὲ, τοῖσ ἐπιτημοσὶν εἰσ κα-
ταμοεισίν· γίνεται δὲ καὶ κατ' ἀντι-
πάθειαν, μέτρα· ὧν τὸ μὲν, ἐ-
πιωνικὸν καλεῖται ὅτε διποδί-
ασ ἰαμβικῆσ προκειμένησ· ἰω-
νικὴν ἐπιφέρεσθαι συμβαίνει· ἥτισ
οἰκειότητα πρὸσ τροχαῖον ὡσ ἐ-
πιδείξαμεν ἔχουσα, δεόντωσ
ἂν ἀντιπάσχει τῇ ἰαμβικῇ λέγοι-
το· τὸ δὲ, ἐπιχοριαμβικὸν· ὅτε τρο-
χαϊκῆσ, προκειμένησ διποδίασ
ἐπιφέρεται χοριαμβικὴ οἰκειότη-
τα, πρὸσ τὴν ἐναντίαν τοῦ τρο-
χαίου τῷ ἰαμβικὴν ὡσ προει-
ρήκαμεν ἔχουσα· ἐπιφέρεται
δ' αὕτη πολλάκισ καὶ ἰωνικὴ· ἣ συμ-
πίπτει τῇ τροχαϊκῇ· ἐπιφέρε-
ται δὲ καὶ τῇ πρὸσ αὐτὴν ἀντικει-
μένῃ· λέγω δὲ, τῇ ἀντισπαστικῇ·
αὔξεται δὲ καὶ ταῦτα, μέχρι τετρα-
μέτρων· καὶ τὰ μὲν αὐτῶν ἀκα-
τάληκτα· τὰ δὲ καταληκτικὰ, γί-
νεται μέσα δὲ καλεῖται μέτρα,
ὅτε δύο πόδων ἀντιθέτων εἰσ
μεταξὺ ἐπιπλων οἰκειότητα πρὸσ
ἀμφοτέρουσ ἔχων· διὸ δὲ ἄκριτον
ποιεῖ τὴν μάσιν· οἷον ἐκκειμένου
μὲν ἑνὸσ δακτύλου, διμέτρου

δὲ ἀναπαιστικοῦ κατὰ μέσον πέ-
σοι ὁ σπονδεῖος, ἄδηλον πότερα
δύο φήσομεν εἶναι μέτρα· τὸ
μὲν δακτυλικὸν· τὸ δὲ ἀναπαι-
στικὸν, ἀμφότερα δίμετρα· ἢ τοσοῦ-
τον τετράμετρον ἀναπαιστι-
κόν· καὶ ἐπὶ ἄλλων δὲ μέτρων
ταὐτὸν θεωρεῖται· συγκεκειμέ-
να δέ ἐστι τὰ διὰ τῶν συνθέ-
των, γινόμενα ποδῶν· ὅταν
τῶν μὲν μακρῶν λυομένων
τῶν δὲ βραχέων συναγομέ-
νων ἐν αὐτῇ διποδία διὸ χεί-
ρες· ἢ ποτέραν ἀποφαν πέον·
οἷον εἴ τις διαλύσειε μὲν τῷ
πρώτῳ τὴν μακρὰν, τοῦ ἀπὸ
μείζονος πέφυκεν ἰωνικὸς· ἢ
ὁ ἐλάττων· τὰ μὲν οὖν τοιαῦ-
τα τῶν μέτρων· ἤτοι ἐκ τῶν
καθαρῶν, διποδιῶν· ἃς πα-
ρατίθεται καταλαμβάνεται·
ἢ ἐκ τῶν ἑπομένων κῶλον ἢ ἐκ
τῶν ταῖς ἀντιστρόφοις ἀπο-
διδομένων· καλεῖται δέ τι-
να καὶ ἀντεμφαίνοντα· ὅταν
ἐν τοῖς συνθέτοις ποσὶν, ὅπου
χρεία βραχείας μακρὰ καταλη-
φθῇ· ᾧ τινες καὶ τῶν ἀρχαίων κέ-

χρῆται· διὰ τὴν τῶν ὀνομά-
των ἀνάγκην· τὸ δὲ ἐκ τῶν μέτρων,
εὐπρεπῶς σύστημα· καλεῖται
ποίημα· τούτων δὲ τὰ μὲν γί-
νεται κατὰ στίχον ὡς τὰ ὁμή-
ρου· τὰ δὲ ἐκ δύο μέτρων ὡς τὰ
ἐλεγεῖα· τὰ δὲ ἐκ τριῶν ὡς ὅταν
ἐλεγείῳ προστιθῇ τις ἰαμβεῖ-
ον· ἢ ἄλλο τι· τὰ δὲ ἐκ πλειόνων
καὶ τούτων· τὰ μὲν ἀπολελυ-
μένα· τὰ δὲ κατὰ σχέσιν· ἀπο-
λελυμένα μέν, ὡς παρὰ τοῖς κω-
μικοῖς αἱ παραβάσεις· κατὰ
σχέσιν δέ, ὡς τὰ ἀντιστρέφοντα·
καὶ πάλιν τούτων ἃ μὲν διμε-
ρῆ· ἃ δὲ τριμερῆ· ὡς καὶ τὰ τὴν
ἐπῳδὸν προσλαμβάνοντα·
καὶ τὰ μὲν ὁμοίως τῇ τάξει·
τὰ δὲ ἐναντίως ἔχει· ὁμοίως
μέν, ὡς ὅταν τὸ πρῶτον τῆς
ἀντιστρόφου· τῷ τῆς στροφῆς,
ἀποδοθῇ πρώτῳ· τὸ δὲ δεύ-
τερον, τῷ δευτέρῳ· καὶ τὰ ἑ-
ξῆς ὁμοίως, ἐναντίως δέ,
ὡς ὅταν τὸ πρῶτον τῷ τε-
λευταίῳ· τὸ δὲ δεύτερον τῷ πα-
ρατελεύτῳ· καὶ τὰ λοιπὰ κα-
τὰ τὸν αὐτὸν λόγον· ἀρκεῖ καὶ

ταῦτα περί τε μέτρων καὶ ποι-
ήματος· ἱκανῶς γὰρ ἡμῖν ὁ
τεχνικὸς τῆς μουσικῆς πε-
ραίνεται λόγος:

ὁ δὲ μετὰ τοῦτο, δέον ποσαχῇ ἐπι-
σκεψώμεθα· πότερον δεῖ ἆρα τοὺ
παιδεύειν διὰ μουσικῆς· ἢ τοὐ-
ναντίον· καὶ χρήσιμα οὐδαμῶς·
καὶ σύμπαντος ἢ τινάς· καὶ
διὰ μιᾶς μελοποιΐας, ἢ διὰ
πλειόνων καὶ πρὸς τούτοις, εἴ-
τε καθάπαξ· οὐδὲ μία χρῆσις
τῶν εἰς παιδείαν ἀποδοκι-
μαζομένων· ἢ καὶ τούτων ἐπὶ
εὑρεῖν ἐνιαχοῦ τὴν ὠφέλειαν·
ταύτας γὰρ τὰς ἁπάσας ἀμ-
φισβητήσεις ὁ παιδευτικὸς ἀ-
ποδέχεται τρόπος· πρότε-
ρον δὲ περὶ ψυχῆς ἡμῖν ἀναγ-
καίως διαληπτέον· ὥσπερ γὰρ
οὐδὲ τῶν ἄλλων τεχνῶν· ἑκά-
στην οἷόν τε διαγνῶναι πρὶν ἐ-
φ᾽ ὧ τὴν σπουδὴν τίθεται κατα-
νοῆσαι μέν· οὕτως οὐδὲ κατὰ
μουσικὴν παιδείαν δυνατὸν
μαθεῖν· μὴ πρότερον ψυχῆς

ἣ μέν· ἡ δὲ πᾶσαν ποιεῖται τὴν
ἐπιμέλειαν διετηρίως μένης· τί
μὲν οὖν ἐπὶ τούτου καθ' ὃν συνετή-
χε ἐν καιρῷ λέξεται· τανῦν δ' ὅ-
σον ἀπόχρη· διὰ βραχέων εἴπω-
μεν· παλαιοὶ γὰρ ἄνδρες ὡς ἔ-
οικε καὶ θεοί, πρὸς ἄλλοις πολλοῖς
καὶ τουτὶ περὶ αὐτῆς ἰσχυρίσαν-
το· ὡς ἄρα οὐ τῶν ἁπλῶν πέ-
φυκεν· οὐδὲ τῶν μονήρη τινὰ
φύσιν ἢ δύναμιν ἐχόντων· τῶν
γὰρ ἐνθάδε διοικήσεως εἴπερ ἔμελ-
λε ῥυθμοῦ τινὸς καὶ τάξεως
τεύξεσθαι ψυχῆς ἀρχούσης·
δεομένων ταύτης δέ, οὔπω πα-
ρεῖναι καὶ πράττειν τὰ ἐπὶ γῆς
δυναμένης εἰ μὴ τοῖς σώματος
περιέχοιτο δεσμοῖς· ὅπερ ἐπὶ
συγγενῆ βαρύτητα καταφερο-
μένων, κατασπᾶται αὐτὴν καὶ
ἀποφοιτᾶν κωλύει· οὔτε μὴν
ὀρθῶς ἄν ποτε καὶ τὴν πάντη
σύμφωνον τὴν τῶν δεῦρο προ-
νοίαν ἐπιτελεῖν· οἵας τε οὔ-
σης εἰ μὴ καὶ τῶν ἐκεῖθεν καλῶν
συνουσίαν τε ἔχοι· καὶ κατάληψιν
δι' ἄλλ τινὸς ἐδήσεφίσεως· ἢ
καὶ φρονήσεως· ἣν ἐπιμόλος

καὶ σώματος οἰκειότητι τα-
τῆσδε οὐκ ἂν ἀπείρξειν· ὅθεν
τοσοῦτον ὥσπερ φασὶν διοικῶν
ψυχὴν συνιστὰς ἐπὶ σταθμὸν
σώματι τῶν ἐσομένων· λόγος
τε ὑπόστασιν αὐτῆς τῆς θείας
μοίρας ἐνεδάσατο· ἐνταῦθα
δὲ καταχωρήσειν ἔμελλεν· ἐπι-
θυμίαν δὲ· διὰ τῶν τῆδε ἐπι-
ρέπεται τῆς ἀλόγου μερίδος
προσθῆν τε προνοῶν δὲ μὴ
τῆς δεῦρο πολλῇ διατριβῇ· τῶν
μὲν τοῖς ἐκεῖθεν καλλίστων τελέως
ἐπιλάθοιτο· τῆς δὲ πρὸς τὰ
αὐτῆς ἀτιμότερα προσπα-
θείας πεδηθείη· μνήμην τε
ἐνέθηκεν αὐτῇ τῆς ἀλογίας ἀ-
λεξιφάρμακον· ἐπιστημῶν
τε κάλλος ἀμύθητον ὅσον
κατιούσῃ σώματι προσεῖλεν εἰς
ὃ τρέπουσα, τὸν σύμφυτον
ἔρωτα τὸν τε ἐν ταῦθα μὴ ὁμο-
ίως ἂν διαγάγοι ὁρμαῖς ἀ-
γαθαῖς καὶ πράξεσι κατακοσ-
μουμένη· τήν τε ἀπαλλαγὴν
κατὰ δύναμιν εὐδαίμονα
ποιήσηται· δύο μὲν οὖν αὐ-
τῆς αἱ δὲ ἰδέαι· λογικὴ μὲν ἡ-

τὰ κατὰ τὴν φρόνησιν ἐπιτε-
λεῖ· ἡ ἄλογος δὲ ἡ περὶ τὸ σῶμα
τευτάζει· αὕτη δὴ πάλιν ἐν ζώων
ἐνεργείᾳ διττὴν εἴληχε διαφοράν·
τὴν μὲν γὰρ πολλὴ πρὸς πε-
πόθῃ ἀνανεύσει· προσηγόρευ-
σαν ἐπιθυμητικήν· τὴν δὲ ἐν ἐ-
πὶ πᾶσι θεωρουμένην ἀσύμ-
μετρον θυμικὴν προσεῖπον,
γεγένηνται δὴ καὶ τῶν μαθήσε-
ων διτταὶ διαφοραί· αἱ μὲν γὰρ
τὸ λογικὸν ἐν τῇ κατὰ φύσιν ἐλευθε-
ρίᾳ διασώζουσι φρονήσεως
μεταδόσεσι· νηφάλιόν τε ποι-
οῦσαι· καὶ ἀκήρατον διατη-
ροῦσαι· αἱ δὲ συνήθεια, τὸ
ἄλογον· ὥσπερ τι θηρίον ἀ-
τάκτως κινούμενον ἰθύνται
καὶ τιθασεύουσιν· οὔτε τὰς
ὑπερμόλας διώκειν, οὔτε
μὴν παντελῶς ἡσυχάζειν
ἐπιτρέπουσαι· ἐκείνων μὲν
ἡγεμὼν καὶ μυσταγωγὸς φι-
λοσοφία· τῶν δὲ ἑτέρων ἄρ-
χει μουσική· πολλὰ ποιοῦσα τε,
εὐθὺς ἐκ παίδων ἁρμονί-
αις τὰ ἤθη καὶ τὸ σῶμα ῥυθ-
μοῖς ἐμμελέστερον κατασκε-

ναζοντα· τὴν γὰρ δὴ τῶν σφο-
δρα νέων ἡλικίαν, οὔτε λόγοις
ψιλοῖς οἷόν τε ἦν παιδεύειν νου-
θεσίαν· ἀηδῆ μονὴν ἐχούσιν· οὔ-
τε πάντελῶς ἐᾶν ἠμελημένοις
ἐλυσιτέλει· τίς ἄρα τοιαύτη παιδεί-
α· ἡ μήτε τὸ λογικὸν ἄωρον
ἐκκειμένων ἐφ᾽ ἡσυχίας δι᾽ ἀραι-
ότητα καὶ τὸ λοιπὸν ὠφελεῖ συ-
ν ἡδονῇ ἢ παιδαγωγοῦσα τῆς συ-
νηθεία· ἐδίδασκε δὲ καὶ ἡ φύσις
αὐτή· διὸ οὖν τὴν παιδείαν προ-
σάγειν ἔδει· οὐ γὰρ δι᾽ ὧν ἀγνο-
οῦμεν· ἀλλὰ διὰ τῶν λόγω τε
καὶ πεῖρα γινωσκομένων οἷμεν
ἐς πειθὼ προαγόμεθα· πᾶ-
δε παισὶν ἔνεστιν ἰδεῖν· τήν τε
ᾠδὴν ἀεὶ πρόχειρον· καὶ τὰ ἐς
φαιδρὰν κίνησιν εὐκαλῆ· καὶ
οὐδεὶς φέρων τῆς ἐκ τῶν τοι-
ούτων ἡδονῆς ἀπείργει· εἴ-
τουν ἢ τοῦ πράγματος χάρις
δελεάζει τὴν διάνοιαν, εἴτε ἡ
ψυχὴ τῆς ἐν μνήμῃ ποιότητι νωθρεί-
ας· ἣ συνείχετο διὰ πλείω τῶν πε-
ρικειμένων ἀπαλότητα ἐλευ-
θερωθεῖσα· ὅτε πρῶτον αἴσθοι-
το ξηροτέρου τοῦ σώματος·

ἀθρομέος

ἀθρόον μὲν τὴν κατὰ φύσιν ἐκ τῶν ᾠ-
δῶν κίνησιν· τούτων δὴ οὕτως ἐ-
χόντων, δέον ἀποκρίνασθαι
πρὸς τοὺς ἀμφισβητοῦντας·
εἰ σύμπαντας τὴν μελῳδίαν
κινεῖν· ὡς ἄρα ἠγνόησαν· πρῶ-
τον μέν, ὅτι παίδων ἡ μάθησις·
ὡς φύσει πάντας ἐπὶ τὴν ᾠδὴν τετρα-
μμένους ποιᾶς δὲ ἡ ἐπιμελείας· ἔ-
πειθ᾽ ὅτι κἂν μὴ δι᾽ εὐθέως αἱρεῖ
τοὺς ἀνεπιτηδείους ἢ δι᾽ αἰῶνα·
ἢ δι᾽ ἡλικίαν· οὐ πολλῷ γε χρό-
νῳ κατεδουλώσατο· ὥσπερ γὰρ ἓν
καὶ ταὐτὸ φάρμακον πρὸς ἓν ὁ-
μοιότητι πάθος· πλείοσι σώ-
μασι προσιὸν οὐχ ὁμοίως ἐνερ-
γήσειεν, παρὰ τὴν τῶν τραυμά-
των ἤτοι μετρίαν πάθειαν· ἢ χα-
λεπότητα· ἀλλὰ τὰ μὲν, θᾶτ-
τον· τὰ δὲ βραδιον ἰάσατο· οὕ-
τως δὲ καὶ μέλος· τοὺς μὲν ἐπιτη-
δειοτέρους, κινεῖ παραχρῆμα·
τοὺς δὲ ἤτοι διὰ πλείονος αἱ-
ρεῖ χρόνου· φανερὰ δὲ καὶ τὰ αἴ-
τια τῆς ἐνεργείας· τῆς γὰρ δὴ
πρώτης ἡμῖν μαθήσεως· δι᾽ ὁ-
μοιότητος γινομένης ἐν ταῖς

αἰσθήσεσιν ἐπὶ μᾶλλον τέσ· τεκ-
μαιρόμεθα· γραφικὴ μὲν καὶ
πλαστικὴ δι' ὄψεως παιδεύει
μόνον· καὶ ὁμοίως διεγείρει
τὴν ψυχήν· καὶ ἐκπλήττει· μου-
σικὴ δὲ πῶς, οὐκ ἀνεῖλεν· οὐ διὰ
μιᾶς αἰσθήσεως· διὰ πλειόνων
δὲ ποιουμένη τὴν μίμησιν καὶ
ποίησις μὲν ἀκοῇ μόνῃ διὰ ψι-
λῶν χρῆται λέξεων· ἀλλ' οὔτε
πάθος ἀεὶ κινεῖ δι' ἀμελῳδίας,
οὔτε δι' ἀρυθμίων οἰκειοῖ τοῖς ὑ-
ποκειμένοις· σημεῖον δέ· καὶ
γὰρ εἴ ποτε δέοι κινεῖν κατὰ τὴν
ἑρμηνείαν πάθος· οὐκ ἄνευ τοῦ
παρεγκλῖναι πως τὴν φωνὴν
ἐπὶ τὴν μελῳδίαν, τὸ τοιοῦτο
περιγίνεται· μόνη δὲ μουσικὴ
καὶ λόγῳ καὶ πράξεων, εἰκὸς
παιδεύει· οὐ δι' ἀκινήτων· οὐ-
δὲ ἐφ' ἑνὸς σχήματος πεπη-
γότων· ἀλλὰ δι' ἐμψύχων· ἀ-
καθ' ἕκαστον ἀπαγγελομένων
ἐς τὸ οἰκεῖον τήν τε μορφὴν
καὶ τὴν κίνησιν μεθιστᾶσι· δῆ-
λα δὲ ταῦτα· κἀκ τῆς τῶν πα-
λαιῶν χορῶν ὀρχήσεως· ἧς
διδάσκαλος ἡ ῥυθμική· κἀκ-

τῶν περὶ ὑπόκρισιν τοῖς πολ-
λοῖς συγκεκραμμένων· κἀκεῖ-
ναι μὲν διαζούσας ἔχουσαι τὰς
ὕλας, οὐ κατὰ τάχος, εἰς ἔν-
νοιαν ἄγουσι τῆς πράξεως·
τοῖς μὲν γὰρ χρώματα· τοῖς δὲ
ὄγκοι· τοῖς δὲ λόγος· ἀλλότρια
τῆς ἀληθείας ὑπόκειται·
μουσικὴ ἐναργέστατα πείθει·
τοιούτοις γὰρ ποιεῖται τὴν μί-
μησιν· οἷς καὶ τὰς πράξεις
αὐτὰς ἐπ' ἀληθείας τελεῖ-
σθαι συμβαίνει· ἐκ τούτων τοῖς
κρινομένοις· βουλῆς μὲν κα-
θημένοις· ἑπομένου δὲ λόγου·
μετὰ δὲ ταῦτα τῆς πράξεως
ἀποτελουμένης· ψιλῆς
μὲν ἐννοίαις· ἤθη μιμεῖται
καὶ πάθη· λόγοις δὲ ἁρμονί-
ας καὶ φωνῆς πλάσει· πρᾶ-
ξιν δὲ, ῥυθμοῖς καὶ κινήσει
σώματος· διὸ καὶ μάλιστα
τοῖς πᾶσιν ἡ τοιαύτη παι-
δεία μετελευστέα· ὅπως δι-
ὰ τῶν ἐν νεότητι μιμήσεων
τε καὶ ὁμοιώσεων· εἰδεῖεν τε
καὶ ἐπιθυμεῖν σφίσι διὰ συνη-
θείαν καὶ μελέτην συμβαί-

μει, τῶν ἐν ἡλικίᾳ, μεταποιου-
δῆς ἐστι τελουμένων· τί δὴ
θαυμάζομεν· εἰ σπουδὴ ἔμελε τοῖς,
παλαιοῖς πόλεις ἐπανορ-
θῶσιν πεποιῆσαι διὰ μουσι-
κῆς· ἑώρων γὰρ τήν τε τοῦ-
πράγματος ἰσχὺν καὶ τὴν-
ἐνέργειαν τὴν καθίσιν· ὥσ-
περ οὖν, καὶ τῶν ἄλλων ἡ μὲν
ὑπάρχουσα τῶν ἐμποιούντων τὴν-
φρένα τίς δὲ· ὑγιείας τε φημὶ
καὶ εὐεξίας τὰ μὲν τηρεῖν πει-
ρώμενοι· τὰ δ' ἐς περιττὸν,
χοροῦντα, μέχρι τοῦ συμμέτρου-
τος ὁρίζοντες, οὕτωσι δὴ καὶ
τὰ κατὰ τὰς ᾠδὰς, καὶ τὰς
ὀρχήσεις φύσει πάσῃ· προσ-
γινόμενα πάθη ἀποκωλύ-
ειν μέν, οὐκ ἦν δυνατόν· ἢ καὶ-
τὴν φύσιν αὐτὴν συναναιρεῖν
ἔδει· θεραπεύειν πως δέ, κατὰ-
μικρὸν καὶ λεληθότως; διὰ ἀγω-
γῆς τε, ἐπειρῶντο, συνήθους ἐν-
κοσμίου· καὶ χρήσιμον ἐξ ἀ-
χρήστου πεποιήκασιν; οὐκοῦν
ἐν ἑκάστοις ἐν ἄλλοις· ἢ τίς
ἄνευ μουσικῆς τελεῖται· θεῖοι
μὲν ὕμνοι καὶ τιμαί, μουσικῇ

κοσμοῦνται· ἑορταὶ δὲ ἴδιαι καὶ
πανηγύρεις πόλεων ἄγονται·
πόλεμοι δὲ καὶ ὁδῶν πορεῖαι
διὰ μουσικῆς ἐγείρονταί τε καὶ
καθίστανται· ναυτιλίας τε καὶ
εἰρεσίας· καὶ τὰ χαλεπώτα-
τα τῶν χειρομακτικῶν ἔργων
ἀνεπαχθῆ ποιεῖ, τῶν πόνων
γινομένη παραμύθιον· παρὰ
δέ τισι τῶν βαρβάρων καὶ τοῖς
κήδεσι παρείληπται· τῆς κα-
τὰ τὸ πάθος ἀκρότητος τῇ
μελῳδίᾳ παραθραύουσα·
καὶ μὴν οὐκ ἀπὸ μιᾶς ἡμῖν
αἰτίας ἑώρων εἰς τὸ μελῳδεῖν
τρεπομένους· ἀλλὰ τοὺς μὲν
ἐν εὐθυμίαις, ὑφ' ἡδονῆς· τοὺς
δ' ἐν ἀχθηδόσιν, ὑπὸ λύπης·
τοὺς δ' ὑπὸ θείας ὁρμῆς· καὶ
ἐπιπνοίας κατεχομένους·
ὑπ' ἐνθουσιασμοῦ· ἢ καὶ τού-
των μιγνυμένων πρὸς ἀλ-
ληλα κατά τινας συντυχί-
ας τε καὶ περιστάσεις· ἤτοι παί-
δων διὰ τὴν ἡλικίαν, τοῖς
τοιούτοις πάθεσιν· ἢ καὶ
τῶν προβεβηκότων, διὰ
ἀσθένειαν φύσεως ὑπαγομέ-

νων· εἰ δὲ μὴ πάντας ἐκίνει
ταῦτα, ὡς τοὺς σοφούς· ἢ καὶ
μὴ πάντα, πρὸς ᾠδὴν ἐξά-
γειν ὡς τὰ ἄκρατα, ἀλλοιώ-
τῶν γε σύμμαχον τῶν· καὶ
οἷς προσεγίνετο, τὴν θεραπεί-
αν προσάγειν ἔδει, χρησίμοις
ἐν καιρῷ, σπουδῆς τοῖς πο-
λίταις ἀπεργαζομένοις. οὐ-
δὲ γὰρ ἰὼ πάνυ τῆς, ἐκ λόγου
τυγχάνειν ἰατρείας τοὺς ὑ-
πὸ τῶν παθῶν ἐνοχλουμέ-
την τε γὰρ ἡδονὴν, ἰσχυρό-
τατον εἶναι δέλεαρ· ᾗ καὶ
τὰ ἄλογα τῶν ζώων· ἁλίσ-
κεται· ὡς δηλοῦσι ποιμέ-
νων τε σύρριγες καὶ αἱ πολλῶν
πηκτίδες· τήν τε λύπην πολ-
λοῖς ἐς ἀνίαν τοῖς καταμαλ-
λεῖν, νόσοις ἀπαραμυθήτοις
μένοις ἄν· τοῖς τε ἐνθουσι-
ασμοῖς· εἰ μὴ τύχανοι ἐν
συμμετρίας· οὐκ ἐς ὀρθὸν
προσμαίνειν· δεισιδαιμονί-
ας τε καὶ ἀλόγοις φόβοις
περιάπτοντας· ταῦτα δὲ ἐκ
τῶν τῆς ψυχῆς μερῶν ἐθε-
ωρεῖτο· περὶ μὲν γὰρ τὸ ἐπι-

θυμητικόν· αὐτὴ τῶν ἡδονὴν
πλεονάζουσαν· περὶ δὲ τὸ
ῥυθμικὸν, λύπην· καὶ ταύ-
της ὀργὴν ἔχοντος· περὶ δὲ
τὸ λογικὸν· τὸν ἐνθουσιασ-
μὸν ἑωρῶν ἑκάστου δὴ τού-
των, διὰ μουσικῆς θεραπεί-
ας· ἁρμοττόντων τὸ πρὸς
ἀγνοοῦντας ἐκ προσαγω-
γῆς ἐς ὀρθὴν κατάστασιν ὑ-
παγόμενος· αὐτὸς μὲν
γὰρ ἕκαστος ἔχων μουσουρ-
γεῖ μετρίως· τινὶ τῶν εἰρη-
μένων παθῶν ἐνεχόμενος·
ὁ δὲ ἐς ἄκρατον ἐμπεσὼν, ἀ-
κοῇ παιδεύεσθαι· δύναται
ἄν· οὐ γὰρ οἷόν τ' ἄλλως ὠ-
φελῆσαι ψυχὴν, ἐν ὑπερβο-
λαῖς ἀταξίας, ἣ οἷς ἐνερ-
γεῖ σύμμετρος ἐνεχομέ-
νη· εἰσί γε τοῖσι καὶ κατὰ γένη
καὶ ἡλικίας, πρὸς εἴδη τι-
νὰ μελῳδίας ἐπιτηδειό-
τητες· αἱ μὲν γὰρ παίδων,
δι' ἡδονήν· αἱ δὲ γυναικῶν
κατὰ πολὺ διάλυσιν· αἱ δὲ πρεσ-
βυτῶν δι' ἐνθουσιασμόν· οἱ-
ον διὰ τὰς ἑορτὰς ἐπι-

πορίαις· εἰς τὸ ᾄδειν ἐξάγον-
ται· ταῦτ' οὖν ὁρῶντες ἐκ παί-
δων ὡς ἀναγκάζον διαιωνίου μου-
σικὴν ἄσκησιν· καὶ μέλεσι καὶ ῥυθ-
μοῖς· καὶ χορείας ἐχρῶντο δε-
δοκιμασμένοις· ἔν τε ταῖς ἰ-
διωτικαῖς εὐφροσύναις καὶ ταῖς,
δημοσίαις θείαις ἑορταῖς· συνή-
θη μέλη τινὰ νομοθετήσαντες·
ἃ καὶ νόμους προσηγόρευον· μη-
χανῶνταί τινα εἰ μὴ τῆς μεγαλειό-
τητος αὐτῶν τὴν ἱερουργίαν ποι-
ησάμενοι· καὶ μέλλειν δὲ ἀκίνη-
τα διὰ τῆς προσηγορίας ἐ-
πεφήμισαν· ἔτι γε μὴν ἐπει-
ρῶντο· καὶ τὰς τῆς ψυχῆς κι-
νήσεις, ἃς ἐνίοτε ποιεῖται ἐπι-
θυμίαις ἀκράτοις ἐνεχομένη·
καταστέλλειν ἀμῶς γέ πως, ἐς
τὴν διακοῆς καὶ ὄψεως μετά-
γοντες γλυκυθυμίαν· ὥσπερ τὴν
εὖμα διὰ κρημνῶν ἀνάντων
φερόμενον· ἢ ἐν ἑλώδεσι τόποις
διαφθειρόμενον· ἐς ἰάσιμον
καὶ εὔγεων πεδιάδα μετοχετεύον-
τες· ὧδε καὶ διττῶς αὐτοῖς
φορμάς· περὶ τῶν κατὰ μουσι-
κήν· τοῖς μὲν γὰρ οὐ τὴν μελε-

σιν· αὐτῆς· οὔτε ψιλῇ ποιήσει με-
τες χηκώς, ἀγροικῶς εἰς πάντα-
πασι καὶ ἠλιθίοις ἑώρουν· τοῖς δὲ,
οὐχ ὡς ἔδει τὴν πρὸς τὸ πρᾶγμα
πεποιημένοις ὁμιλίαν· οὐ μικροῖς
περιπίπτοντας ἁμαρτήμασιν·
ἀλλ' ὑπὸ τῆς ἐς τὰ μὴ σπουδαῖα
τῶν μελῶν ἢ ποιημάτων φιλο-
χωρίας, ἰδιότητα ἤθους οὐ-
κ ἀστείαν ἀποματτομένοις· διὸ
τοῖς μὲν παιδευτικοῖς τῶν μελῶν·
ἐπὶ πλεῖστον ἐχρῶντο· τοῖς δὲ ἀ-
νειμένοις ἐπ' ὀλίγον τε καὶ σπανί-
ως ἤτοι πρὸς ἠθῶν καταμόνησιν·
ὡς καὶ τῆς διὰ μέθης πείρᾳ πολ-
λάκις· καθὰ καὶ ὁ θεῖος Πλάτων·
τοῖς ἐν πόλει τεταγμένοις, ἡδοναῖς
τισὶ δοκιμάζει· ἢ τὸ περὶ τὰς ἐ-
πιθυμίας ἐπτοημένον ὡς ἐφω·
ἐς παιδείαν ἐκτρέποντες· πά-
σης γὰρ παιδεύσεως ἤτοι διὰ
πάθους ὡς τῆς ἀπονοιῶν·
ἢ δι' ἀπειθοῦς ὡς τῆς ἐν ὁμιλί-
αις, τὰς προπας ποιουμέ-
νης, ἀμφοτέροις ἡ μουσικὴ κρα-
τεῖ· καὶ λόγῳ καὶ μέλει, τὸν ἀκρο-
ατὴν δουλουμένη καὶ ποικίλαις
μεταβολαῖς φωνῆς τε καὶ σχήμα-

των· ἐς οἰκειότητα τῶν λεγο-
μένων ἑπομένη· τὴν μὲν
οὖν παιδευτικὴν καὶ μέχρι
τῶν ἑκατὸν ἡμερῶν παρελάμ-
βανον· τὴν δὲ πρὸς ἄνεσιν
ὅσον ἐστί· καὶ τὴν μὲν σεμνὴν με-
λῳδίαν τε καὶ χορείαν· ἤτοι θεω-
μένοις· ἢ καὶ αὐτοῖς ἐνεργοῦν-
τας τοῖς ἐνδοξοτέροις· τὴν
δ᾽ ἡδεῖαν, τοῖς ἀγελαίοις ἀνίεσαν·
ὅπου μὲν γὰρ σπουδαῖοι· σύμ-
παντες οἱ τῆς πολιτείας
φύλακες· ὡς ἐν τῇ σοφωτάτῃ
Πλάτωνι· τῶν πρὸς παι-
δείαν συντεινόντων μελῶν
χρεία μόνον· ποικίλων δεόν-
των τὸ πλήρωμα τῆς
κοινωνίας συγκροτούντων·
ὡς ἐν ταῖς λοιπαῖς πόλεσι
πρόσφορον· καὶ τῆς ψυχα-
γωγίας ἑκάστης ἐστὶν ἅπερ
ἁρμόσαντες· καὶ τῶν ἐν τῇ
πολιτείᾳ ῥηθέντων τὰς αἰ-
τίας οὐ σιωπῶντες· οἱ μὲν
τὰ πρὸς ἡδονὴν τῶν μελῶν
πάντα πᾶσιν ἀπεδοκίμα-
σαν· οὐ διακρίναντες οἷς τε
ἥρμοττε καὶ ὅπη παρελάμ-

κάμετο· οἱ δὲ καὶ τὴν ἅπασαν
μελοποιΐαν· ὡς τοιούτων μό-
νων ἀπεργαστικὴν ἐξώρισαν·
οὐκ εἰδότες ὡς εἰ καὶ παιδιὰ
μόνη, πολλῶν ἐπέφυκεν ἄλλων
χρησιμωτέρα· τῆς δὲ φύσεως
καὶ τὰ τοιαῦτα ἀπαιτούσης· ἐμ-
ποδίζειν μὲν, ἀδύνατον· οὐ
γὰρ εἴρηται τῷ σοφῷ· καὶ τὸ
περὶ τὸ ζῷον· τῶν δὲ ἀνέσεων,
τὴν ὠφελίμον προκριτέον,
λέγω δὲ ταῦτα· οὔτε τὰ πάν-
τα διαμεμελημένα, τῶν μελῶν
ἀποδεχόμενος· οὐδὲ γὰρ μου-
σικὴ τούτων ἐπαίτιος, ἀλλὰ
καθάπερ αἱ λοιπαὶ τέχναι τῆς
σφετέρας ὕλης, ἐκ τῶν μελτί-
στων διακρίνει τὰ χείριστα· οὔτε,
τοῖς διὰ τὴν φαύλην μελῳδί-
αν· τῇ πάσῃ τέχνῃ λοιδορου-
μένοις ἐπαινῶν· οὐδὲ γὰρ
τὰς διὰ λόγων ψιλῶν τροπὰς
ἀποσιωπητέον, ὅτι καὶ τού-
των· οἱ μὲν, ἐπ' ἀρετήν· οἱ δὲ,
ἐς κακίαν παρακαλοῦσιν· ἀλ-
λ' ὥσπερ ἔχοντι τῆς, ἐνούσης
φύσεως, τὴν ἀμείνω προτι-
μῶμεν· οὕτω καὶ τὴν μελω-

ποιία τὴν βελτίω προαιρέσε-
ως ἡδονὴν ἐπιφέρουσαν τῶ-
ωδὴν φευκτέον· οὔτε γὰρ ἅπα-
σα περ ψῖς ποιεμ πτου· οὔτε τῆς
μουσικῆς αὕτη τέλος ἀλλ' ἡ μὲν
ψυχαγωγία, κατὰ τὸ σύμμε-
μηκος· σκοπὸς δὲ ὁ προκείμε-
νος, ἡ πρὸς ἀρετὴν ὠφέλεια· ὅ-
περ πολλοῖς τε ἄλλοις ἔλαθε,
καὶ τὸν ἐν τοῖς κικέρωνος τοῦ
ῥωμαίου πολιτικοῖς, τὰ κατὰ
μουσικῆς ῥηθέντα· οὐ γὰρ ἔγω-
γ' ἂν φαίην ἐκείνω τὰ τοιαῦτα εἰ-
ρῆσθαι· πῶς γὰρ ἂν τοῖς αὐτοῖς
ἰσχυρίσαιτο· μουσικὴν λοιδω-
ρεῖν τε καὶ ὡς φαύλην εὐθίω ἐν-
τέχνω ἁρμονιῶν τε καὶ ῥυθμῶν
ἀρεταῖς καὶ κακίαις διορίζουσαν·
ἄνδρα ὃς τὸ τηνικαῦτα ῥυθμοῖς
μόνοις καὶ τούτοις, ἅπεν ἐσὶ καὶ
φαύλοις ἐπιδεικνύμενον ῥωσκί-
ον τὸν ὀρχηστὴν· οὕτως σφόδρα
ἐξεπλήττετο· ὥστε φάσκειν αὐ-
τὸν προνοία θεῶν· ἐς ἀνοίς πα-
ρελθεῖν· καὶ γὰρ εἴ τις αὐτὸν φάσ-
κοι, τὰ μὲν ἐν ἧ συνέγραφε πολι-
τεία λέγειν ἑκουσίως· τὰ δὲ περὶ
ῥωσκίου ἡ προκειμένης ἕνεκεν ὑπο-

θέσεως· ἀντιστρέφειν μὲν καὶ ἡ-
μᾶς οὐδὲν κωλύσει τὸν αὐτὸν
λόγον· ἀλλ' ὅμως καὶ οὕτως λάθοι
τὶς ἂν ἀποδοκιμάζων μᾶλλον
ἴσον εἰς τὴν παροῦσαν σχέσιν
ὁποίας τὸν ῥήτορα ἀναξιόπιστος
γὰρ πρὸς ἀληθείας εὕρεσιν· ἢ δι-
καίοις κρίσιν· ὁ ταῖς κατ' αὐχήν·
ἢ κατὰ τὴν αὐτοῦ προαίρεσιν· ἀλ-
λὰ μὴ ταῖς κατ' οὐσίας βουλευομ
ὑποθέσεσιν· οἱ μὲν δὲ ὡς οὐδ' ἂν
αὐτὴν ἔχειν ῥητορικὴν διὰ τοὺς ἀδι-
καζομένους τῶν ῥητόρων οὕτω
δὴ καὶ εἴ τινες τῶν τεχνιτῶν διὰ
τὸ τοῖς πολλοῖς ἀρέσκειν τὰ ἀ-
γεννῆ μελῳδοῦσιν· οὐ τῆς τέχνης
τὸ αἰτίαμα· ἀλλὰ καὶ ἡ πατρὶς
αὐτῶν· τοῖς μὲν ἐπήραμα· καὶ
τοῖς ὀλίγῳ μετ' αὐτὸν ἔτι τυγχά-
νοντας ἀγριωτέροις μουσικὴ παι-
δευομένοις εἶχε· καθὰ καὶ αὐτὸς
φησί· ἰδίᾳ τε ἐν βακχείαις κοινῇ τε
ἐν ἁπάσαις τελεταῖς σφίσι συνε-
ορτάζουσι· ἔν τε ταῖς πόλεσιν·
ἐν οἷς μάλιστα ἐδοκίμησε καὶ εὐ-
δοκιμεῖ· πρὸς θήσω δὲ καὶ εὐδο-
κίμει· τὴν μὲν κατὰ τὴν πυρρίχην
τῶν τακτικῶν μελέτην· ὡς διὰ-

μουσικῆς ποιεῖται· τί δεῖ λέ-
γειν· πᾶσι γὰρ δή που ταυ-
τὶ φανερά· ἀλλ' ὃ τοῖς πολε-
μίοις ἄδηλον ἐν αὐτοῖς τοῖς ἀ-
γῶσι καὶ τοῖς κινδύνοις· τὰ
μὲν διὰ λόγων πολλάκις ἀ-
ποδοκιμάζει παραγγέλμα-
τα· ὡς μλάψοντα· εἰ τοῖς
ὁμοφώνοις τῶν πολεμίων
διαγνωσθείη· διὰ μουσικῆς
δὲ ποιεῖται τὰ σύμβολα· ὄρ-
γανον μὲν· ἀρήϊόν τε· καὶ κα-
ταπληκτικὸν· μεταχειριζο-
μένη τὴν σάλπιγγα· ἑκάστῳ
δὲ παρεπαγγέλματι· μέρος ἴ-
διον ἀφορίζουσα ἐπιδρο-
μῆς οἷον τῆς κατὰ μέτωπον
καὶ ἐφόδου τῆς κατὰ κέρας·
ἰδιάζοντα κατά τε τακτὰ μέλη·
καὶ ἀνακλητικὸν ἕτερον· ἐξελί-
ξεων τε τῶν ἐπ' ἀσπίδα· ἢ ἐπὶ
δόρυ πάλιν· ἑκάστης ἴδια· καὶ
πάντα οὕτως ἐφεξῆς περαί-
νει τὰ σοφίσματα· συμβόλοις
τοῖς μὲν πολεμίοις ἀδήλοις·
τοῖς δὲ φιλίοις σαφεστάτοις τε
καὶ δι' εὐχερείας γινωσκομένοις·
οὐ γὰρ κατὰ μέρος τούτων διά-
κούουσιν· ἀλλ' ἡ χρεία· τὸ σύμ-

πᾶν ἕπεται σύνταγμα· ὁ
δὲ δὴ μέγιστον ἁπάντων·
ὅτι καὶ κατὰ τινὰς καιρούς
ἀλλοιοτέρων τῶν προστατῶν
τῆς πολιτείας πεπειρα-
μένη· τῶν ὑπὸ πλάτωνος
ἐν πολιτεία λόγω χρησμω-
δουμένων, ἔργω πεπεί-
ραται ἐν μέσαις ἀγυιαῖς,
καὶ ἱερῶν κάλλεσιν ὠμοτά-
την τῶν πολιτῶν τὰ κάλλη-
λων ἐπιδοῦσα μιαιφονί-
αν· ὅτι γὰρ ἰσχυρότατον
τε πρὸς παιδείαν ἡ μουσι-
κὴ καθάπερ οὐδὲν ἕτερον
αἵ τε φύσεις ἡμῶν ἀρετῇ πα-
νορθωτοὶ μείνασαι, πολλά-
κις διεφθάρησαν· ἡ γὰρ ἐς
τὰ χαμαὶ ζῆλα τῶν παθῶν·
ἢ ἐς τὰ χαλεπὰ προάγονται
δῆλον ἐνθένδε· ποιήσομαι
δὲ, τὸν λόγον οὐκέτι τὸν κα-
θ' ἕκαστον· δυσχερὴς γὰρ ἐν-
τοῦ· ἡ κατανόησις· ἀλλ' ἐπὶ
πόλεων καὶ ὅλων ἐθνῶν· εὐ-
μαρὴς γὰρ ἐν τοῖς μείζοσιν
ἡ θεωρία· δύο μὲν οὖν ταυτῃ
παρὰ τὸν τῆς παιδείας λόγον

δυστυχήματα· ἀμουσία τε
καὶ κακομουσία· τὸ μὲν ὅσω
ἕτερον ὑπὸ ἀμαθίας· θάτερον
δὲ, ὑπὸ πονηρᾶς, γίνεται
διδασκαλίας. δυοῖν δὲ καὶ
περὶ τὴν ψυχὴν· ὡς ἐμφα-
νῶν θεωρουμένων παθῶν· θυ-
μοῦ τε καὶ ἐπιθυμίας· οἱ μὲν
ἄγευστοι πάντα πάσι τῶν ἐκ
μουσικῆς καλῶν· εἰ μὲν τὸ ἐ-
πιθυμητικὸν κολακεύοιεν ἀναι-
σθητοί τε εἰσὶ καὶ ὀρχηματώ-
δεις· ὥσπερ οἵ τε περὶ τὴν ὀποι-
κίαν καὶ λευκανίαν· εἰ δὲ τὸ θυ-
μικὸν ἐπαίρειεν· ἄγριοί τε καὶ
θηριώδεις· ὥσπερ οἵ τε περὶ τὴν
γαραμαντίδα καὶ τὴν ἰβη-
ρίαν· πάλιν δὲ οἷς, εἰς τὸ πα-
ρὰ φύσιν διεστράφη, τὰ τῆς
μουσικῆς, ἐς φαυλότητα καὶ
κακομουσίαν· τούτων οἱ μὲν
τὸ ἐπιθυμητικὸν θεραπεύον-
τες, τάς τε ψυχάς, εἰσὶ λίαν
ἀνειμένοι· καὶ τὰ σώματα οὐ-
δὲν ὡραΐζοντες· ὥσπερ οἵ τε πε-
ρὶ τὴν φοινίκην· καὶ οἱ τούτων
κατὰ τὴν λιβύην ἔκγονοι· οἱ
δὲ τῷ θυμικῷ πειθαρχοῦντες,

τήν τε διάνοιαν εἰσὶν ἄτακτοι
μεθύσοι τε ὄντες· καὶ πέρα τοῦ
καιροῦ φιλορχῆσθαι τὰ ἐμόπολοι-
α· τήν τε ὀργὴν περιττοὶ ἀρει-
μανεῖς ὡς οἵ τε περὶ τὴν Θρα-
κῶν· καὶ τὸ Κελτικὸν ἅπαν ἔθνος
τὸ δὲ δή, τήν τε μάθησιν αὐτῆς
καὶ χρῆσιν τὴν ἐπιδέξιον ἀσ-
πασάμενον· λέγω δὲ τὸ Ἑλληνι-
κόν· καὶ εἰ τοῦτο ἐζήλωκεν εὐ-
δαιμονίας τε ἀρετῆς ἐμέλησεν καὶ ἐ-
πιστήμης ἁπάσης· καὶ ὑπε-
ραίαν φιλανθρωπία· εἶτα πόλεις
μὲν ὅλας καὶ ἔθνη τέρπειν οἷ-
ά τε καὶ μετὰ ὅπλα πειν μουσι-
κή· τὸν δὲ καθ' ἕνα οὐκ ἂν παι-
δεύσειεν, ἐγὼ τίθεμαι· καὶ μὴν
οὐδὲν οὕτω τῶν ἄλλων ἐπι-
τηδευμάτων· πολιτείαν τε
συστήσασθαι δύναται καὶ συ-
στᾶσαν, διαφυλάξαι· τὰ μὲν
γὰρ ἄλλα, συγκαταβάλλεται
τῆς καταστάσεως· πρὸ τέ-
ρας ἐπὶ θάτερα ῥεπούσης·
ἡ δὲ καθηγεῖται πάσης μετα-
βολῆς· πρώτη γὰρ καὶ τάξει
καὶ δυνάμει πᾶν τὸ μάθη-
μα τὸ προαίρεσιν ἐκ πρώτης

ἡλικίας, ἑκάστῳ πλάττουσα· τοῖς
μέλεσι πρόσφορος· ἔστω σοι
καὶ τουτὶ τεκμήριον· ἤθοις ἑ-
κάστοις γνώσεως· οἷοις γὰρ ἕκαστοι
δημοσίᾳ τε καὶ ἰδίᾳ μέλεσιν
ἥδονται καὶ ῥυθμοῖς· τοιού-
τοις ἂν καὶ τοῖς ἤθεσιν εὑρε-
θεῖεν ἀρεσκόμενοι· ἐκ γὰρ τοῦ
διὰ ᾠδῆς μὴ ὀλιγωρεῖν τὰ φαῦ-
λα προσφέρεσθαι συνήθειά
τις· καὶ οἰκειότης περιγίνε-
ται· ἐκ δὲ ταύτης, φύσεις ἕ-
ξεις ὀρέξεις εἰς τὰς πρά-
ξεις ἀναφύονται· αἷς ἡδο-
νὴ προσελθοῦσα· μεμαι-
οί τε καὶ ἐπιτείνει τὸ δεινόν·
οὔτε σχήματος οὔτε μορφῆς
οὔτε μέλους λόγων ποιουμένη
διάκρισιν· ἕως ἂν ἅπαντα
τὸν βίον ἰδίᾳ τε καὶ κοινῇ τε-
λευτῶσα ἀνατρέψει; εἰ τοίνυν
καὶ κατὰ τοὐναντίον λέγειν·
ὡς ἐκ μὲν καλῆς ᾠδῆς, ἀγα-
θοὶ λόγοι· φύσεις τε καὶ ἕξεις
καλαὶ δὲ ὀρέξεις· ἄριστα δὲ
συμμαίνουσι πράξεις· τοι-
γάρτοι κατὰ τοὺς παλαιοτά-
τους, χρόνους πολιτείας οὐ-

οὐδαμοῦ τί πάντως ἐρηρεισ-
μένης μουσικῆ· μετὰ ἀρε-
τῆς τοῖς τε λαοῖς πόλεων
τε καὶ ἐθνῶν ἔχθρας ἔπαυ-
σεν· πανηγύρεων μὲν, ἀπο-
δείξασα τεταγμένους χρό-
νους, ταῖς δὲ ἐν ταύταις
συνηθείαις εὐφροσύναις τε
καὶ θυμηδίαις, τῆς μὲν ἐς
ἀλλήλους ἀγριότητος παύ-
σασα· τὸ δὴ πῖον αὖ τι σα-
ίνουσα ὥσπερ οἶδ' ἦ μοι τὰ
γεωργικὰ πάσης προτέρων
μοτάνης σκληρᾶς· καὶ ἀ-
κάρπου θάμνων· τό τε παι-
δίον καθηράμενον· τὰ χρη-
σιμώτατα τῶν σπερμά-
των ἐμασφαλεῖ καταβάλ-
λουσιν· εἰ δὲ μὴ ὧν, ἅπασα
μὲν πόλις· σύμπαν δὲ ὀλί-
γου δεῖν ἔθνος· τό τε κόσμι-
ον ἠγάπησεν καὶ φιλανόμου-
δή που διὰ τοῦ τὰ χρηστὸς,
ἡ μουσική· οὐδὲ γὰρ ἰατρικὴ
παρακλήσιν μὲν φροντιστέον,
εἰ τοῦ νοσεῖν σύμμαινει· ὑγιαί-
νοντος δὲ· ἀχάριστη πέον· ἀλ-
λὰ καὶ τῆς ὑγιείας, δίκαιον

χάριν εἰδέναι· καὶ τοῦ λοιποῦ
βίου παντὸς ἐπιστατεῖν ποιή-
σασθαι· ὅπως μὴ δι' ἀργίαν
ἢ τρυφὴν τοῖς ἐξ ἀρχῆς πε-
ριπέσοιμεν· τῆς γὰρ αὐτῆς
δή που τέχνης· οὐκοῦν
τε ἀρετὴν ἐνθεῖναι καὶ ἐνοῦσαν
διαφυλάξαι τε καὶ αὐξῆσαι οὕ-
τως οὖν καὶ περὶ μουσικῆς
ῥητέον· χάριν τε γινώσκειν ἐς
φιλίαν ἕκαστον αὐτῷ· καὶ κοι-
./. συνάδουσι ἀναληπτέον δεῖ σαεὶ τηρήσειν τῆς πρὸς ἀλλήλους — νῇ πρὸς ἀλλήλοις ὁμονοοῦσιν
ἐρρωμένοις· καὶ οὐ δημοσίᾳ
μόνον· ἀλλὰ καὶ ἰδίᾳ ῥη-
τέον· ὡς γὰρ ὑγίειά τις ἐστὶν καὶ
κοινὴ καθ' ἕκαστον· οὕτω δὲ καὶ
συμφωνία πόλει τε ὅλῃ πρὸς
ἑαυτὴν καὶ μία ψυχὴ πρὸς τὰ
αὐτῆς μέρη· ὅτι μὲν οὖν ἡμῖν
τοῖς τελέοις παιδευταῖον μου-
σική· καὶ αὐτῆς διαιωνίου προ-
σεκταῖον οὕτως παρείκει· οὐ-
δένα ἂν τινα πείθειν οἴομαι· καὶ
ῥοσ δέλοιτο ἐξηγεῖσθαι ποῖα
μὲν μέλη· ποῖοι δὲ ῥυθμοὶ κα-
ταρτύουσι τὰ τῆς φύσεως
παθήματα· λέξω δή· τὰ μὲν
παλαιοῖς τισὶν εἰρημένα· τὰ δέ,

εἰς τὴν μουσικὴν συντεθέντα· οὔτ' ἀ-
γνωσία, τῶν συγγραφέων οὔτε
μας κακία· τοῦτο μὲν γάρ, οὐ
δεῖ ποιεῖν θέμις ἀνδρῶν περὶ
μουσικὴν φιλοσόφων τε τελεσ-
μένων· ἅπαντα γὰρ τὰ μὲν αὐτοῖς
ἐν συγγράμμασι καταπέπτωκε
το· τὰ δ' ἀπορητότερα ταῖς
πρὸς ἀλλήλους ὁμιλίαις δι-
εσώζετο· αἰτία δ' ἦν ἡ τῶν τό-
τε περὶ τὰ κάλλιστα ὁρμή τε καὶ
φιλοχωρία· νυνὶ δὲ τοσαύτης
ἐπιπολαζούσης· δεῖ γὰρ εὐ-
φημεῖν φιλομουσίας, ἀγα-
πητὸν ἔσται τοῖς μετρίως ἐ-
πιμελέσιν εἰ μὴ ὅλως οὐ σαφές
τι περιέχουσι περὶ πεσσοῖεν· τε-
τάρων δὴ μάλιστα τούτων στο-
χαστέον τῷ παιδευομένῳ τὴν διὰ μου-
σικῆς ἔννοίας τε πρεπού-
σης καὶ λέξεως· καὶ πρὸς τού-
τοις, ἁρμονίας τε καὶ ῥυθμοῦ·
προκαθηγεῖται μὲν καὶ ἔννοια
πάντως· ἧς ἄνευ, οὔτε φύσιν
τινὸς ἐγείρεται· ταύτης δὲ μί-
μημα λέξις· καὶ πρὸς τὴν
τοῦ πέλας ἀκοήν τε καὶ πειθὼ
πρώτως ἀναγκαία· αὕτη δ'

ὀξύτητας τε καὶ βαρύτητας
προσλαμβάνουσα, μετὰ δὲ
συστήματα τῶν συγκεχυμένων
μὲν ἐστερημένων ἁρμονίας λό-
γοις δὲ τοῖς συμφώνοις πε-
περασμένων ῥυθμοῦ· ἀλλ' ἐπεὶ
παθῶν ψυχικῶν ἡ μουσικὴ
θεραπεία· πρότερον διαλη-
πτέον ὅπως ταῦτα καὶ πόθεν
περὶ ψυχὴν εἴωθεν συμβαί-
νειν· μὴ γὰρ τούτων ὡρισμέ-
νων, ἀσαφὴς ὁ περὶ τῶν ἑ-
ξῆς ἡμῖν γενήσεται λόγος·
φαίνεται μοι ποιὰ ἡ ψυ-
χή· ὁρμᾶν μὲν τῶν δ' ἐκεῖ-
κα ἔτι ὁμιλοῦσα τῷ κρεί-
ττονι· λόγῳ τε ὁμοίως εἶναι
καὶ καθαρεύειν ἐπιθυμίας·
ἐπὰν δὲ ἐπὶ τάδε ἐγκλίνῃ καὶ
τῶν ἐν ταῦτα διατρίβειν πει-
ρᾶται μαθεῖν ἐπιχειρήσει, τὴν
κατὰ ταῦτα αὐτῆς, σώματος τε
ἐπιγίνεται χρεία· καὶ σώματα ἐ-
πιζητεῖ προσφορον· ὑπό-
κειται δ' αὐτῇ θεωρῆσαι τὴν ἐν
τούτοις δι' ὅλου ἀρρενότη-
τά τε φημὶ καὶ θηλύτητα· ἥ-
τις οὐ κἂν ἐμψύχοις μόνοις
ὁρᾶται ἀλλὰ καὶ τοῖς φύσει

μόνη, δίοι χουμένοις φυτῶν· τέ
ὅσα μετάλλων τε, ἐρῆ καὶ ἀρωμά-
των· καὶ γὰρ τούτων δύας τις
ἐπιφαίνεται, ἤτοι διὰ τὸ ἀλλό-
τητος ἢ λειότητος· ἢ εὐχρείας·
ἢ εὐωδίας ἢ καὶ τῶν ἐναντί-
ων· τὴν ἑτέραν ἐπιδεικνυμέ-
νων φύσιν· αὕτη μὲν οὖν καθ' αὑ-
τήν, ἁπλῆ τέ ἐστι καὶ ὡς ἐν μορ-
φῇ ἀδιάφορος· εἶδος δὲ τουτὶ
τὸ ἀνθρώπειον, ἠμφιεσμένη·
τὸ μὲν κατὰ φύσιν αὐτῆς ἀ-
ποκρύπτει κάλλος· ἐς δὲ τὸν τοῦ
ἑτέρου τόπον τε καὶ τύπον·
τὰ μὲν ἑκουσίως, τὰ δ' ὑπ' ἀ-
νάγκης σχῆμα τίθεται· οὐ μό-
νον οὖν ἐφίεται σώματος· ἀλ-
λὰ καὶ τούτου ποιοῦ τινός· ἢ γὰρ
ἄρρεν ἢ ἰαπήκεν ἡ θῦλη· καὶ τού-
των ὅτε μὲν ἄκρατον θάτερον·
ὅτε δὲ ἐξ ἀμφοῖν ἔχων δέ μὴν
τινα· καὶ οἷόν πως, ἄτοπον μί-
ξιν· αὐτίκα κἂν μὴ φύσει τοῦ-
τοιούτου τύχωσι σώματος·
αὗται ταῖς σφετέραις τροπαῖς
μετερρύθμησάν τε· καὶ ἐς τὸ
αὐταῖς ὅμοιον μετέθησαν· οὕ-
τως ἐν μὲν ἄρεσι θῆλυς ἐπιτρέ-

χει μορφῇ· διὸ καὶ ὅμοιος ὤ-
πται τοιοῦτος· ἐν δὲ σώμασιν·
ἀνδρεῖον εἶδος· ᾧ καὶ τὸ ἦθος
ὅμοιον τεκμαιρόμεθα· καὶ ἀν-
δρες μὲν ἀπέχνειοι· καὶ πενοιασ-
χουσι γυναῖκες· καὶ τὶς ἄρρεν
ἐκλέλεψεν ὑγρόν· καὶ γυναῖκες το-
ρὸν προσεῖδον· ὥστε καὶ τῶν
ἠθῶν ἑκάτερα θηράσειεν ἑκάτη μορ-
φῇ· οἰόμεθα. ἐκ δὲ τῆς πρὸς
τὸ ἄρρεν ἢ θῆλυ πρὸς παθείας·
ἢ πρὸς ἀμφότερα, τὰ πάθη
συνίσταται περὶ ψυχήν, τὸ μὲν
οὖν θῆλυ· λίαν ἀνειμένον· ᾧ
συνᾴδει τὸ ἐπιθυμητικόν· τὸ
δ᾽ ἄρρεν· σφοδρόν τε καὶ δρατη-
ρίον· ᾧ τὸ θυμικὸν ὡμοίωται·
περὶ μὲν οὖν τὸ θῆλυ· ψυχῆς
τε μέρος καὶ ἀνῶν γένος, πλε-
ονάζουσι λῦπαι τε καὶ ἡδοναί·
περὶ δὲ τὸ ἄρρεν· ὀργὴ καὶ θρά-
σος· πάλιν δὲ τούτων γίνον-
ται συζυγίαι· λυπῶν τε, πρὸς
ἡδονὰς καὶ ὀργῆς πρὸς θρά-
σος· καὶ θράσους· πρὸς ἡδο-
νήν· καὶ λύπης καὶ ὀργῆς αὖθις·
πρὸς ἑκάτερον· καὶ πάλιν ἑ-
κάστου· πρός τε ἓν καὶ πρὸς

πλείω μίξεις· καὶ μυρίας αὐ-
τὶς ἐκ τούτων εὕροι, τῶν παθῶν
εἰκόνας· ἐν τοῖς ποικίλια θεωρουμέ-
νον· τούτων οὖν ἑκάστω κατὰ
φύσιν διαφόρως ὑποκειμένων·
καὶ τῶν ἐννοιῶν γίνονται διαφο-
ραί· οὕτως ὁ μὲν λευκότητα ἰ-
δὼν, ἠγάσθη· ὁ δὲ μελανίαν, ἐ-
θαύμασε· καὶ τῶν μὲν τὸ γλυ-
κὺ δι' ἡδονῆς· ἑτέρω δὲ, τὸ πι-
κρὸν ἀρέσκει· τῆς γὰρ ἐναντιό-
τητος· ὡς ἔφην καὶ τοῖς πάθε-
σι θεωρουμένης· καὶ τοῖς ἐκτὸς
ὑποκειμένοις πράγμασιν· οἷς
ἐπὶ μᾶλλον ὅσαν φασὶ τῆς ψυ-
χῆς φαντασίας ἀναλαμβα-
νον· πάντοις σφετέροις ἐοικότα
παθήμασιν· ἕκαστος ἡμῶν,
δι' ἀρεσκείας ἄγει· ἐπὶ γὰρ πρώ-
του μὲν ἐν ὁρατοῖς ἑκατέραν
ἰδεῖν, τὴν φύσιν· τὸ μὲν ἀν-
θηρόν τε καὶ ἐς ὡραῖς μὲν προσ-
φυὲς χρώματι καὶ σχήματι· διαι-
ρούμενα θηλύτητα· τὸ δὲ σύντονόν
τε καὶ ἐς σωφροσύνην ἄγον· ἀρ-
ρενότητα· πάλιν δὲ ἐν ἀκο-
αῖς, τοῖς μὲν λιγυροῖς καὶ προ-
σηνέσιν ἤχοις, ἐς τὸ θῆλυ· τοῖς -

δὲ τραχυτέροις, εἰς τοὐναν-
τίον ἁρμόττοντα, καὶ ἵ-
να μὴ τὸ καθέκαστον λέγω,
κοινῶς περὶ πάντων, ἀ-
ποφαντέον, ὡς ὅσα μὲν
τῶν αἰσθητῶν ἔς τε ἡδονὴν
δελεάζει, καὶ ἠρέμα διαχεῖν
τὴν γνώμην πέφυκε, ταῦ-
τα εἰς τὸ θῆλυ κριτέον· ὅσα
δὲ κινεῖ τε εἰς συντονίαν καὶ
ἐγείρει τὸ δραστήριον· ταῦτα
ἐς τὴν ἄρρενος μοῖραν ἀπο-
νεμητέον· τὰ δέ τοι μηδέτε-
ρον ἢ κατὰ μῖξιν ἀμφοτέρων-
·/· τῶν μέσων ἀφαντέρων κατὰ δὴ ταῦτα
τα, ταῦτα· καὶ περὶ ἐκεί-
νων λέγωμεν· αἱ λογικαὶ μὲν εἰ-
σὶ καταλήψεις τέχναι τε,
καὶ ἀρεταὶ καὶ ἐπιστῆμαι ἔκ
τε τῆς τῶν ὑλῶν ποιότητος
περὶ ἃς ἑκάστῳ τετάχαται, τὰς
πρὸς ἀλλήλας διαφορὰς
καὶ ὁμοιότητας εἰλήφασιν·
αἵ τε ἀρεταὶ πρὸς τὰς ἀρε-
τάς· αἵ τε ἐπιστῆμαι πρὸς
τὰς ἐπιστήμας· κακίαι τε
αὖ πρὸς κακίας· καὶ αὖ ἐπι-
στημοσύναι πρὸς ἀμαθίας·
πάλιν δὲ ἀρεταὶ πρὸς κακί-
ας ἢ ἐπιστήμας· ἢ ἀπειροσύνας

κακίαι τε αὖ πρὸς τὰς εἰρη-
μένας· ποικίλης τινὸς καὶ
τῆς κατὰ ταῦτα πλοκῆς
τε οὔσης καὶ μίξεως· πρώ-
τη μὲν οὖν, ἡ δι' ἐμμονίων ἐν
μίῳ συγκαταθέσεις· ἢ εὐτι-
χῶς ἑκάστα δι' αὐτομαθείας
κατειληφότων ἢ ὑφ' ἑτέρων με-
ταπεισθέντων· αἱ γὰρ τῶν
πολλῶν διαμονήσεις, ἦθος ἐμ-
ποιεῖν· ἢ αἱ τῶν ἐπιτηδευμάτων
δόξαι πεφύκασι· πάντων
γὰρ ἡ ψυχὴ τύποις ἑαυτῇ καὶ
εἰκόνας ἔχουσα ὑπὸ τῶν λό-
γων κινουμένοις ἐν νοήμασι·
ἑκάστου τε σχηματίζεται· καὶ
τὰ ἐκ τῆς τοιαύτης συνηθείας;
τε καὶ μελέτης ἔλαθεν· ἡ εὐδαι-
μονία κατὰ μικρὸν ἕξιν ἢ ἐναν-
τίαν βεβαιώσασα· καθόλου
μὲν οὖν, τῆς ἠθικῆς παιδεύ-
σεως, εἴδη δύο· τὸ μὲν γάρ ἐστι
θεραπευτικὸν ᾧ κακίαν δι-
ορθούμεθα· καὶ τούτου πά-
λιν εἴδη δύο, τὸ μέν· μειωτι-
κὸν ἰῶϊκα πείθειν ἀθρόως· ἀ-
δυνατοῦντες κατὰ μικρὸν
ἐλαττώσεσι εἰς ἀπάθειαν ἄγο-

μέν· τὸ δὲ ἀνερετικόν· ὅταν
ἐκ πρώτης εἰς παντελῆ τὸν
ἀκροατὴν ἄγωμεν μετάστα-
σιν· τὸ δὲ τρίτον, ὠφελητικόν· ὅ-
τε τὴν βελτίστην ἕξιν μεγαι-
οῶπες, τοῖς παιδεύμασι·
φυλάττομεν ἐν ταυτῷ τῇ τί·
τὸ δὲ· προσθετικόν· ὅτε τὴν
μετρίαν καλοκαγαθίαν ἐκ προ-
σαγωγῆς εἰς ἄκραν ἀγαγεῖν· τῶν
ἀρετῶν· πραγματευόμεθα· τῆς
δὲ ἐκ τῶν ἐννοιῶν παιδεύσεως
ἡ τέχνη διττή· εἰ μὲν γὰρ ἐκ τῆς
ὑποκειμένης τῶν πραγμάτων
ὕλης· τὰ χρειώδη πρὸς τὴν
ψυχαγωγίαν, εὑρίσκοι τὰ ση-
μαινόμενα· τούτοις χρησόμε-
θα· εἰ δ' ἀπορήσομεν, μεθό-
δοις ἀνιχνεύσομεν τὰ ἀναγκαῖ-
α· τῶν δὲ μεθόδων, αὗται χρη-
σιμώταται· ἐπίθετα· μετα-
λήψεις· μεταφοραί· ὁμοιώσεις·
συνεκδοχαί· περιφράσεις· ἀλ-
ληγορίαι καὶ ἄλλαι πλεῖστοι· ὅ-
ρα δὴ ὅπως ὁ ποιητὴς ἀνατο-
λὴν παράδεισον εἰπεῖν ἡλίου πει-
ρώμενος· χρήσιμα τοῖς λεχθη-
σομένοις περὶ τῆς ἐν τῷ λύκω-

φωτὶ τῶν ἡρώων τάφης, βρα-
δύτητος δηλωτικοῖς ἐπιθέ-
τοις χρῆται· τούτων δὲ μὴ
οἰκείως ἐπὶ τοῦ λαχίστου τῶν
ἄστρων λεγομένων· τὸν μὲν λόγον
ἐπὶ τῆς ἡλιακῆς αὐγῆς ἐποι-
ήσατο εἰπών· ἠέλιος μὲν ἔ-
πειτα νέον προσέβαλλεν ἀ-
ρούρας· τῶν δὲ ἐπιθέτων, ἐ-
πὶ τοῦ βραδυκινήτου στοι-
χείου τοῦ ὕδατος· ποιεῖται
τὴν κατασκευήν· ὅπου μὲν,
τὸ ἠρεμαῖον δηλῶν· τῆς ἐπι-
ρροῆς φησίν· ἐξ ἀκαρρείταο·
ὅπου μὲν τῆς αἰτίας ἐμφαί-
νων τῆς βραδυκινησίας λέ-
γει γὰρ καὶ βαθυρρόου ὠκεανοῖο·
ποτὲ μὲν γὰρ τέναγος· εὐκί-
νητον· περὶ τὴν ὑποκειμένης
τῆς γῆς κυρτότητα κυλιόμε-
νον· βάθος δὲ βραδὺ καὶ στα-
δαῖον, ἐπὶ πολλὰ μέρη τῆς ὑ-
φ' αὑτὸ κοιλότητος· τὴν ὁρμὴν
σκεδαννύμενον· ἀλλὰ καὶ τῆς
ἀνόδου τὸ σχολαῖον ἐνέφηνε·
μακροτέρα γὰρ οὐ κατ' εἰκό-
τως· ἡ ἀπὸ τοῦ βάθους διέξοδος·
ταχυτῆτα δὲ πάλιν ἀνατο-

λης δηλῶν· ἔμψυχον τῶν ἄ-
στρων· καὶ ὁρμητικὴν περιτί-
θησι τὴν ἀναφοράν· λέγει γάρ·
ἠέλιος δ' ἀνόρουσε λιπὼν πε-
ρικαλλέα λίμνην· ἔνθα δὴ καὶ
ἠοίων τὸν λόγον, θηλυκῶς
ὀνομάζει τὸν ὠκεανόν· πά-
λιν δ' ἡ δ' ὁρμῆς εὐτελῶς τὰς
ἀνατολὰς διαγράφων· τοῖς
μὲν, ἅμα τῇ τε χροιᾷ προ-
σημαίνει· καὶ ἐς ὅς φησὶν ἡδέσι·
κοσμεῖ τὸν λόγον· οὐκέτι δὲ ἐ-
πὶ τοῦ ἡλίου τοῦτον· ἐπὶ δὲ
θήλεος προσώπου τῆς ἠώς·
μὲν κροκόπεπλος ἐκίδνατο
πᾶσαν ἐπ' αἶαν· καὶ ἦμος
δ' ἠριγένεια φάνη ῥοδοδακτύ-
λος ἠώς· αὖθις συντέλλειν
ἡμᾶς βουλόμενος ἐπὶ τῶν
πολεμικῶν τάξεων, φησί· κυ-
ανέαις ἀρχέσι τε καὶ ἔγχεσι πε-
φρυκυῖαι· ὁ γὰρ ἐκ τῶν κατὰ
φύσιν ὀνόμα τῶν οὐκ ἀνέ-
ποίησε τοῦτο, διὰ τῶν μετα-
φορικῶν σημαινομένων ἐνήρ-
γησε· τό τε γὰρ μέλαν· ὀλίγου
ταὐτὸν ἀκούομεν· ὥσπερ
καὶ ὁρῶμεν, δρᾶ τό τε τῆς φρί-

κῆς ὄνομα διὰ τὸ φονερόν· τὴν
ἐν τῷ πολέμῳ δι' ἀδικήσασι σύρα-
γωγίαν, πάλιν ἐνεργείας ἕνεκεν
φη· πάντες δ' ἐσείοντο πόδες πο-
λυπιδάκου ἴδης καὶ κορυφαί·
μᾶλλον γὰρ ἡμᾶς εἰς ἔννοιαν
τῆς ταραχῆς ἤγαγεν, ἀπὸ τῶν
φύσει κινουμένων τῶν ἡμετέ-
ρων σωμάτων, τὸν :· ἔπειτα ἀ-
κίνητα, μετὰ ἰσχύος ποιησάμε-
νος· καὶ μὴν ἐπὶ ταὐτὰ πράγ-
ματος· τὰ μὲν περὶ ἄρεα καὶ
ἀφροδίτην, διὰ τραχέων ὀνομά-
των ἀφηγεῖται· τὸ ἐμίγησαν· καὶ
τὸ λάθρη καὶ τὸ ἠσχῦναι λέγων· ὧν
τὸ μὲν τὸν ἐξ ἡδονῆς μιασμόν·
τὸ δέ, τὸ ἐπίφοβον τῆς πρά-
ξεως· τὸ δὲ τὴν αἰσχρὰν ἀδικί-
αν ἐμφαίνει· ἐπὶ δὲ τοῦ ὀδυσ-
σέως, σεμνοῖς ῥήμασι κοσμεῖ
τὸν λόγον· τὴν γὰρ ἔνδικον καὶ
νόμιμον πρᾶξιν ἐνέφηνεν εἰ-
πών· ἀσπάσιοι λέκτροιο πα-
λαιοῦ θεσμὸν ἵκοντο· ἐπὶ δέ γε
τῆς οὐδὲ πεμπτῆς κατὰ νό-
μον· οὔτε ἑταιρουμένης ὁμι-
λίας συμπλοκῆς· τῆς τῶν ση-
μαινομένων ἐναντιότητος

πεποίηται τὴν μεσότητα· εἰπὼν·
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠ-
δὲ μιγῆναι· ἣ θέμις ἀνθρώπων πέλει-
αν δρῶν ἠδὲ γυναικῶν· ὅπου δὲ
τρόποις ἀδύνατον μεταβάλ-
λειν· ταῖς ὁμοιώσεσι χρησόμεθα·
συντελεῖ μὲν οὖν ἡμῖν τὴν διάνοιαν,
ἐνίοις φη· ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς
εἶδεν νέφος αἰπόλος ἀνήρ· διὰ-
χεῖ δὲ ἐν οἷς ἔφη· γαλακτι δὲ εἴκελον
ἄνθος· πολλῶν γὰρ χαπέρων λευ-
κῶν ὄντων τό· καὶ γλυκύτητος
ἔμφασιν ποιησόμενον ἐπελέξα-
το εὐθύς· ἐπὶ μὲν τῶν ἀχιλλέως
θρήνων, τοῖς συγχέουσι τῶν
ὀνομάτων τὴν διάνοιαν, χρῆ-
ται πλείοσι νεφέλην μέλαιναν
τέφραν ὀνομάζων· ἐλάττω δὲ
τίθησι τὰ φαιδρότερα· τὰ δὲ,
κατὰ τὸν εὐφορίων· ἀνθηρῶς ἀ-
παγγέλλειν ἐθέλει τοῦ, κατὰ τὸν πά-
τροκλον, ἡμᾶς ἀπολύων πάθοις,
πλεονάζει γοῦν ἐκεῖθι, τὰ φαιδρὰ
τῶν ὀνομάτων· χαρισὶ μὲν ὅμοι-
οι πλόκαμοι· ὕλαι δὲ ἀνθηραὶ
χρυσὸς καὶ ἄργυρος; τά τε ἐφε-
ξῆς· εὐθαλὴς τε λαία· καὶ χω-
ρίον ἀναπεπταμένον· καὶ ὕδα-

τῶν· ἀναλυθεῖσα νοῆσαι ῥοιαί·
καὶ ἀμείνων εὔπορος· καὶ ἀν-
θοῖς φαιδρόν τι χρῆμα καὶ τι-
μαλφέστατον· μέγεθος γε μὴν
καὶ ἀξίωμα ἐμποιεῖ τῷ λόγῳ,
διὰ συνεκδοχῆς· ἐν τῷ οἰδί-
θεὶς πρὸς τεῖχος, εὔδμητον,
ποίας αὐτὰς ὕψος ἂν ἀσχολου-
μοι· ἐκείνων μεγάλῳ ἀλαγη-
τῷ, μεγέθει τῶν διανοημάτων·
ἐξῄρει τὸν λόγον· ἀπρεπῶς δ' ὄν-
τος τοῦ τῆς ἀσπίδος ὀνόματος·
ὡς ἐς ἁδρότητα τὸ σῶμα φαΐζον
μέγεθος, κοινῷ ὀνόματι· πάλιν
δ' ὄντος ἀσυμφώνου τούτου
τῷ, ἂν ἀσχολούμενοι προσέθηκεν,
αὐτόν· διὰ γὰρ τῆς κατὰ τὴν ξη-
ρότητα συνεμφαινομένης κου-
φότητος· τῇ τε φράσει τὴν πιθανό-
τητα περιῆψε· καὶ ταῖς ἐννοί-
αις ἀνυπεύθυνον τὴν φαντα-
σίαν ἐχαρίσατο· καὶ μὴν ἀλλα-
χοῦ φησίν· ἀμφὶ δ' ἐσάλπιγξεν μέ-
γας οὐρανός· τούτῳ τοίνυν·
τὸ μὲν κατὰ τὴν μάχην ἐς ὄγκον
ἄρρων· ἀπρεπὲς δὲ ἐπὶ τοῦ
ὅπου χρώμενος μεθόδοις με-
τὰ διώκει τὸ πρέπον· τῷ-

μὲν ἐπίθετον· καὶ τὸ ἐκ τῆς
σάλπιγγος, οἷον αὔξων μέλος·
τῇ προσθήκῃ δὲ τῆς προθέσε-
ως ἐκ παντὸς μέρους οὐ-
ρανοῦ οὕτων ἦχον ἐξάγων· φαι-
νόμενον μὲν τὸ κατὰ χαμαίζη-
λα· τῷ ὀνόματι τὴν ἰσχνό-
τητα ἐμποιεῖν, τῷ λόγῳ
ὡς ἔχει τό, δίφρον ἀεικέλιον·
παραθεὶς ὀλίγην τε τράπε-
ζαν· εὐμοειδῆ καὶ τῆς τῶν
περὶ φράσεων ποικιλίας ὡς
ἅμα τῷ ἐναργεῖ τοῦ χαρακτῆ-
ρι καὶ τὰ εἴδη τοῦ λόγου περιπ-
τεται· μέσων γοῦν ἡρώων προ-
σώπων μετὰ τῆς οἰκείας ἀ-
ρετῆς ἕκαστον ἐπαγγέλλων
ἐθέλειν· ὅπου μὲν φησὶ βι-
ης Ἐτεοκληείης· ὅπου δὲ ἱε-
ρὴ ἲς Τηλεμάχοιο· ἐφ' οὗ μὲν
τὸ κατὰ τὴν ῥώμην ἔξοχον·
ἐφ' οὗ δὲ τὸ κατὰ τὴν σωφρο-
σύνην θεοφιλές· ἐπισημαίνων·
καὶ μὴν καὶ ἀλληγορίαι· πολ-
λοῖς ὀνόμασιν ἐφεξῆς κοι-
νῶς τρέπουσιν· ἐφ' ἑτέραν
ποιότητα τὴν διάνοιαν· ὁ-
ρᾷ γὰρ ὡς ἀπαθῶς καὶ ἀλύ-

πως · εἰ πείη τε· τῶ ἐν τῷ πολέ-
μω τετελευτηκότων προειρημέ-
νος · ὡς περὶ πυρῶν συγκο-
μιδεῖν, ποιεῖται τὸν λόγον λέ-
γων αἶψά τε φυλόπιδος πέ-
λεται κόρος ἀνθρώποισιν, ἧς τε πλεῖ-
μεν καλάμην χθονὶ χαλκὸς
ἔλεψεν· ἄμητος δ' ὀλίγιστος·
τούτων δὴ τῶν ἐμμονήματων
πλεκομένων ἀλλήλων· γίνον-
ται λόγοι καὶ λόγων εἴδη· οἷον
ἐκ ποικίλων χυλῶν τε καὶ χυ-
μῶν φάρμακά τε καὶ ἡδύσμα-
τα · τὰ μὲν οὖν ἐς ἄρεσιν ἄγον-
τα καὶ φαιδρότητα, τὸν ἀφε-
λῆ τε καὶ ἡδῶ λόγον ἐτεχνήσε·
τὰ δὲ τὸ σῶμα μόνον κινοῦντα
καὶ τὸ ὁρμητικόν· τὸν πολιτι-
κόν τε καὶ ἀγωνιστικὸν ἐξέφη-
νε· τοῦ μὲν οὖν πολιτικοῦ κα-
τὰ τὸ ἄρρεν τὰ εἴδη· σῶ το-
μιά τε· καὶ τραχύτης· καὶ
ἀξίωμα καὶ μεγαλοπρέπει-
α· τραχύτης τε καὶ σφοδρό-
της καὶ μέγεθος · καὶ μεσό-
της · ἅπερ τὴν πεφυσικὴν
ἐμφαίνει· μεγαλονοίαν τοῦ
ἄρρενος· μέγεθός τε σώματος·

καὶ ἁδρότητα διανοίας· καὶ τὸ
ἐς τὰ μέγιστα τῶν ἔργων ἀμύν-
τικὸν τάχος· τοῦ δὲ ἀφελοῦς
ἀραιότητος ἀκρότης· κάλλη
τε καὶ γλυκύτητες· ὧν τὰ μὲν,
τὸ ἀνειμένον τοῦ θήλεος· τὸ
ἐς ὡραϊσμὸν διαδείκνυσιν ἐπο-
ημμένον· γένοιτο δ᾽ ἄν τι καὶ τῇ
τούτων πλοκῇ· οἷον ἡ δριμύ-
της· τὸ μὲν τάχος· ὡς ἄρρεν·
τὸ δὲ μικροπρεπές· ὡς ἐναν-
τίον ἐπιφαίνουσα· εἴ τε πιμέ-
λεια· τὸ μὲν γλίσχρον ἔχουσα κα-
τὰ τὸ θῆλυ· τὸ δὲ τῆς φιλοπονίας
παρεκτεταμένον· ὡς ἄρρεν· τού-
τοις δὲ τοῖς εἴδεσι τῶν λόγων, πρὸς
ψυχὴν ἑκάστην χρώμενος· ἢ ἁ-
πλοῖς ἢ κατὰ μῖξιν· ὅτε μὲν
ὁμοιότητι πείσεις· ὅτε δὲ ἀνο-
μοιότητι καταπωγίῃ· περὶ δὲ
τῆς τῶν σχημάτων φύσεως
οἷς προσάγειν χρὴ τὰ ὀνόμα-
τα· οὐ πολλὰ δεῖν ἡγοῦμαι λέ-
γειν· ἱκανὴ γὰρ ἡ ὑπόκρισις ταῦ-
τα δηλῶσαι· καὶ γὰρ τούτων ἕ-
καστον· ἢ συστέλλει πως ὡς αἱ
παραιτήσεις ἢ ἀνίησιν, ὡς αἱ
συγχωρήσεις τὴν διάνοιαν· καὶ

ἤτοι μικροπρεπεῖς ὡς αἱ διορ-
θώσεις· ἢ μεγαλεῖοι ὡς αἱ ἐτυ-
μολογίαι καὶ ἀφηγήσεις ἀπεργά-
ζονται· ὧν ἑκάστου κατὰ τὴν ἐμ-
πειρίαν· ἐκ τῶν τύπων ἄριστα ἂν δια-
γνοίημεν· ὧν ἕκαστον κατὰ τὴν
τῆς ὑποκρίσεως καιρόν, τοῖς
σώμασιν ἐντίθησι· παρὸ καὶ σχή-
μασιν αὐτοῖς συνεμπληθῶσαι·
περί γε μὴν τῶν ὑποθέσεων καὶ
τῶν κεφαλαίων, οἷς τὰς μιμή-
σεις καὶ ἀφηγήσεις τεταγμέ-
νως ποιησώμεθα· ἐν τῷ πε-
ρὶ ποιητικοῖς ἡμῖν ἀκριβῶς
εἴρηται· ἧς μέρη μέν, μιμή-
σεις καὶ διηγήσεις· τούτων δὲ
ἑκατέρας μόρια· ἠθοποιίαι τε
καὶ διηγήματα· ἃ πολλαχοῦ κα-
θ' ἑαυτοῦ μόνα γινόμενα, εἴδη τε
καὶ ποιήματα προσαγορεύε-
ται· ὅτι γὰρ καὶ ἡ διὰ τούτων,
ἐν μουσικῇ, χρησιμεύει παιδεύ-
σεις· Ὅμηρος ἡμῖν ἱκανὸς μάρ-
τυς· ὁ μὲν γὰρ Ἀχιλλεὺς ἐν ἰδι- λια
πόρρω καθίσταται τοῦ· διὰ τὴν
χρυσηΐδα πάθους βουλόμενος·
οὐδ' ὅτι οὖν ἐρωτικὸν ἄδων εἰ-
σάγεται· ἀλλ' ἐς τὸ ἀνδρίζεσθαι

τὴν ψυχὴν ἐκκαλεῖται τὰς
τῶν παλαιοτέρων ἐνοπλί-
ας πρὸς κιθάραν ἅμα ἐμ-
παιζόμενος · τῶν δὲ ἐν ὀδυ-
σσείᾳ διὰ μουσικῆς παιδευόν-
των ὁ μὲν ἀκρουσῶν τοῖς μνη-
στῆρας · τῆς, γε ἐς τὴν πηνελό-
πην ὕβρεως · καὶ τῆς ἐς τὴν
ὀδυσσέως κηδεμόνα θεὸν ἀ-
σεβείας ἄδει · τὰ διὰ τὴν τοῦ λο-
κροῦ παρανομίαν · ἀχαϊκὰ
δυστυχήματα · ὁ δ' ἀχαιῶν
φησὶ νόστον ἄειδε λυγρόν · ὃν ἐκ
τροίης ἐπετείλατο · παλλὰς
ἀθήνη · ὁ δὲ · τοὺς φαιάκων
τρυφῇ παιδεύων, καὶ εἰσ-
α πέφυκεν, ἐξάγειν κολούων·
δεσμοὺς · ἄρεος ἄδει καὶ ἀ-
φροδίτης · ὡς οὐδὲ τούτοις
ἀθῴοις ἐφ' οἷς ἐπλημμελή-
σαν γεγενημένοις · αὐτός γε
μὴν ὁ ὀδυσσεὺς · ὃν πρότερον
αὐτὸν ἐξέφηνε τοῖς φαίαξιν, εἰ
μὴ διὰ μουσικῆς ὁ δημόδοκος
τήν τε ἀρετὴν τἀνδρὸς ἐδίδα-
ξε · καὶ διὰ πειθοῦς μελῳδι-
κῆς, ἔρωτα τῆς γνώσεως τοῦ
σοφοῦ περιεποίησε · φησὶ γοῦν

πρὸς αὐτόν· ἀλλ᾽ ἀπεδήμει τὰ-
κηθῇ· καὶ ἵππου κόσμον ἄεισον·
καὶ πρὸς τίθησιν· ὅν ποτ᾽ ἐς
ἀκρόπολιν δόλον ἤγαγε δῖος
ὀδυσσεύς· ταυτὶ γὰρ ἔχεται μὲν
πως· καὶ τοῦ προτέρου κόσμου·
τοῖς γὰρ παρανόμως ἀλλοτρί-
οις ἐπικεχειρηκότας, γάμοις
διαγράφει δίκην ὑπέχοντας·
ὁρῶμεν δ᾽ ὅπως ὁ σοφὸς ἀ-
ναγκαίως μὲν ἑαυτῷ· τοῖς δὲ
ἀκούουσιν ἀνεπαχθῶς ἐπαι-
μεθίζωσαι πρότερον· ὡς περὶ
ἄλλου τοῦ λέγων ὑπὸ τοῦ μου-
σικοῦ· κωλύεται· τοιγαροῦν·
ὥσπερ ἐπιθυμοῦσιν αὐτοῖς,
ὕστερον μαθεῖν· πιθανώτερος
τε καὶ ἡδίων γίνεται· φάσκων
εἰμὶ ὀδυσσεὺς λαερτιάδης,
ὃς πᾶσι δόλοις ἀνθρώποισι μέλω-
καί μευ κλέος οὐρανὸν ἵκει· με-
γάλω μὲν δὴ τὸν λόγον· ὥσ-
περ ὁ φαιδρότατος τῶν κω-
μικῶν φησί· μουσῶν χρώματα
ζωιοχρῶτες· μεταγάγωμεν εἰς
τὰ περὶ λέξεως οὐκ ἀναγκαῖ-
α καὶ πρὸς τοῖς περὶ στοιχείων
ῥητέον· καὶ τοιούτας τούτων

ἰδιότητας ἐς τὴν ἐναντιότη-
τα τῶν προειρημένων γενῶν·
εὐχόπως ἀνέχεται· τούτων δὴ
τὰ μὲν, λειοτέρους ἀποτελεῖ
τοὺς φθόγγους· ὡς τὰ φωνήεντα·
τὰ δὲ τραχεῖς, ὡς τὰ ἄφωνα·
τοὺς δὲ μεταξύ, ὡς τὰ ἡμίφωνα·
καὶ τῶν φωνηέντων· τὰ μὲν ἀ-
κώλυτον προφερόμενα τὸν ἦχον·
διὸ καὶ σεμνότερα πέφυκεν ὡς
τὰ μακρά· τὰ δ', εὐθέως πε-
ριγράφονται ἦττον; ὡς τὰ βρα-
χέα· τὰ δὲ μεταξύ· κατὰ τὴν
χρόνων ποιότητα, καὶ τῆς εὐ-
φωνίας μετείληφε· τῶν ἡμιφώ-
νων τὰ μέν, ἐξ ἄκρων τῶν
τῶν χειλῶν συριγμὸν προϊέν-
τα ταπεινῶν, τραχύτερα· ὡς τὰ
διπλᾶ, καὶ τὰ ἰδιάζοντα δὲ
λοιπά· εὐφονότερα· καὶ τού-
των, τὰ μέν, τῆς γλώττης· τό
τε πνεῦμα καὶ τὸ στόμα πλητ-
τούσης, ἰδίως, τὸ λ καὶ τὸ ρ· τὰ
δ' ἀποκλειομένων τῶν πνευ-
ματικῶν πόρων, ἢ καὶ διὰ
ῥινὸς προχωροῦντα μόνης·
ἔλαττον ὡς τὸ μ καὶ τὸ ν· πάλιν
τῶν ἀφώνων, τὰ μὲν διὰ τῶν

χειλῶν

ουσική τίς ἐστιν· εἴδησις μέλους· καὶ τῶν περὶ μέλος συμβαινόντων· μουσικὸς δὲ τίς· ὁ εἰδὼς τὰ· κατὰ τὰς μελῳδίας συμβαίνοντα· πῶς ὑπάρχει· ἃ μὲν φύσει· ἃ δὲ τῇ ἡμετέρᾳ χρήσει· ποῖα οὖν φύσει· αἱ ὀξύτητες καὶ βαρύτητες· καὶ τὰ διαστήματα· ποῖα δὲ τῇ ἡμετέρᾳ χρήσει ἡ περὶ τοὺς φθόγγους ἠθοποιΐα· αὕτη δὲ ἡ μουσική, ἐκ τίνος συγκεῖται· ἐκ φθόγγων ἐμμελῶν καὶ συστημάτων· φθόγγος δὲ καθόλου τί ἐστι, φωνῆς ἐμμελοῦς πτῶσις ἐπὶ μίαν τάσιν· μία γὰρ τάσις ἐν φωνῇ ληφθεῖσα, ἐμμελῆ φθόγγον ἀποτελεῖ· σύστημα δὲ τί ἐστι· τὸ ἐκ πλειόνων ἢ δύο φθόγγων μελῳδούμενον· διάστημα δὲ τί ἐστι· διαφορὰ δύο φθόγγων ἀνομοίων ὀξύτητι καὶ βαρύτητι· τί οὖν ἐστιν ἐλάχιστον τῶν μελῳδουμένων· φθόγγος· τί δὲ ἐστιν ἐλάχιστον τῶν διαστημάτων· δίεσις· δίεσις δὲ τί ἐστιν· ὃ δύναται ἡ ἡμετέρα φύσις ἐμμελῶς, ἐλάχιστον ἀν-

εἶναί τε καὶ ἐπιτεῖναι. τῆς δὲ διέσεως, τί
διπλάσιον ἡμιτόνιον. τοῦ δὲ ἡμιτονί-
ου διπλάσιον τί, τόνος. τόνος δὲ τί ἐστι,
ᾧ μεῖζον ἡ διὰ ε̄ συμφωνία, τῆς διὰ δ̄.
συμφωνία δὲ τί ἐστι, κρᾶσις δύο φθόγγων
ἀνομοίων ὀξύτητι καὶ βαρύτητι λαμβα-
νομένων. ἐν ᾗ οὐδέν τι μᾶλλον τὸ μέλος
φαίνεται τοῦ βαρυτέρου φθόγγου ἤπερ
ἤπερ τοῦ ὀξυτέρου ἤπερ τοῦ βαρυτέρου.
πόσα οὖν εἴδη συμφωνιῶν ἐν τῷ τελει-
ω συστήματι. ἕξ. τίνα ταῦτα. διὰ δ̄ διὰ
ε̄, διὰ πασῶν. διὰ πασῶν καὶ διὰ δ̄.
διὰ πασῶν καὶ διὰ ε̄. δὶς διὰ πασῶν.
τίνες οὖν αὐτὰ φθόγγοι δηλοῦσι. τὴν μὲν
διὰ δ̄. ζ καὶ φ. τὴν δὲ διὰ ε̄. ζ καὶ c. τὴν δὲ
διὰ πασῶν. Ζ⊢ τὴν δὲ διὰ πασῶν καὶ διὰ
δ̄. З καὶ υ. τὴν δὲ διὰ πασῶν καὶ διὰ
πέντε. Ζ καὶ Ζ̄. τὴν δὲ διὰ πασῶν. ΖΖ
θ/η ἡ οὖν διὰ τεσσάρων ἐκ πόσων τόνων
συνέστηκε. β̄ ∠. ἡ δὲ διὰ ε̄. ἐκ πόσων ἐκ γ ∠.
ἡ δὲ διὰ πασῶν, ἐκ πόσων. ς̄. ἡ δὲ διὰ πασῶν
καὶ διὰ δ̄, ἐκ τόνων η∠. ἡ δὲ διὰ πασῶν
καὶ διὰ ε̄. ἐκ τόνων θ∠. ἡ δὲ δὶς διὰ πα-
σῶν, ἐκ τόνων ιβ. πόσα οὖν ἐν αὐτοῖς
ἐπὶ διὰ δ̄ διαστήματα, ιβ. τίνα ταῦτα.
πρῶτον μέν, τὸ ἀπὸ ζ ἐπὶ φ. δεύτερον,
ἀπὸ ⊐ ἐπὶ c. τρίτον ὁ ἀπὸ R ἐπὶ ρ. τέταρ-
τον ἀπὸ φ ἐπὶ π. πέμπτον, τὸ c ἐπὶ

ἕκτον, τὸ ἀπὸ τοῦ ρ ἐπὶ τὸ ϙθ ἕβδομον, τὸ ἀπὸ
τοῦ πε ἐπὶ τὸ ν ὄγδοον, τὸ ἀπὸ τοῦ λ ἐπὶ τὸ υ ἐπὶ τὸ πμ· δω-
δέκατον, τὸ ἀπὸ τοῦ ϙθ ἐπὶ τὸ λ διὰ πέντε, ὅσα
δὲ καὶ τίνα ταῦτα, πρῶτον μὲν, τὸ ἀπὸ τοῦ ϛ
ἐπὶ τὸ ϛς· δεύτερον δὲ τὸ ἀπὸ τοῦ ρκ ἐπὶ τὸ πμ· τρί-
τον δὲ, τὸ ἀπὸ τοῦ φ ἐπὶ τὸ λς· τέταρτον δὲ
τὸ ἀπὸ τοῦ ϛς ἐπὶ τὸ ξβ· πέμπτον, τὸ ἀπὸ τοῦ ρ
ἐπὶ τὸ μς ἕκτον, ἀπὸ τοῦ πμ ἐπὶ τὸ υ ἕβδομον,
τὸ ἀπὸ τοῦ λ ἐπὶ τὸ ϙθ ὄγδοον, τὸ ἀπὸ τοῦ ϙθ ἐπὶ
τὸ λγ ἔννατον, τὸ ἀπὸ τοῦ με ἐπὶ τὸ πμ· δέκατον
τὸ ἀπὸ τοῦ υ ἐπὶ τὸ λδ διὰ πασῶν, ὅσα
ἢ τίνα ταῦτα· πρῶτον μὲν τὸ ἀπὸ τοῦ κβ
ἐπὶ τὸ ι· δεύτερον, τὸ ἀπὸ τοῦ ϡ ἐπὶ τὸ ςγ· τρίτον
τὸ ἀπὸ τοῦ ρκ ἐπὶ τὸ ξε· τέταρτον. τὸ ἀπὸ τοῦ φ
ἐπὶ τὸ υ· πέμπτον τὸ ἀπὸ τοῦ ϛς ἐπὶ τὸ ϙθ ἕκ-
τον τὸ ἀπὸ τοῦ ρ ἐπὶ τὸ λγ ἕβδομον, τὸ ἀπὸ τοῦ π
ἐπὶ τὸ πμ ὄγδοον, τὸ ἀπὸ τοῦ λ ἐπὶ τὸ κε διὰ πα-
σῶν δὲ καὶ διὰ δ, ὅσα ε τίνα ταῦτα·
πρῶτον μὲν· τὸ ἀπὸ τοῦ ψκ ἐπὶ τὸ υ· δεύτε-
ρον τὸ ἀπὸ τοῦ ϡ ἐπὶ τὸ ϙθ· τρίτον τὸ ἀπὸ τοῦ ρκ
ἐπὶ τὸ λγ τέταρτον, τὸ ἀπὸ τοῦ φ ἐπὶ τὸ πμ πέμ-
πτον, τὸ ἀπὸ τοῦ ις ἐπὶ τὸ κ διὰ πασῶν δὲ καὶ
διὰ ε, ὅσα τρία τίνα ταῦτα· πρῶ-
τον μὲν· τὸ ἀπὸ τοῦ ϛ ἐπὶ τὸ ϙθ δεύτερον δὲ,
τὸ ἀπὸ τοῦ ρκ ἐπὶ τὸ πμ τρίτον, τὸ ἀπὸ τοῦ φ ἐπὶ
τὸ λχ· δὶς δὲ διὰ πασῶν, ὅσα ἓν τὸ ἀπὸ
τοῦ ϛ ἐπὶ τὸ λχ· μέλος δέ τί ἐστι; ἄνεσις καὶ ἐπί-
τασις δι' ἐμμελῶν φθόγγων γινομένη.

τοῦ πυκνοῦ δὲ τί ἐστι· τὸ ἐκ δύο διαστημάτων
ἐλαχίστων συγκείμενον· ἐκαπωτέρων· γένος δὲ
τί ἐστι· ἡ μὲν τετραχόρδου γινομένη διαίρε-
σις. πόσα οὖν γένη ἐστί, τὰ μελῳδούμενα·
τρία· τίνα ταῦτα· ἐναρμόνιον· χρῶμα·
διάτονον· τὸ οὖν ἁρμονικὸν πῶς με-
λῳδεῖται· ἐν τοῖς μὲν τὸ ὀξὺ· κατὰ δίεσιν
καὶ δίεσιν καὶ δίτονον· ἐν τοῖς δὲ τὸ βαρὺ κα-
τοὐναντίον· τὸ δὲ χρῶμα πῶς μελῳ-
δεῖται· ἐν τοῖς μὲν τὸ ὀξὺ καθ' ἡμιτόνιον
καὶ ἡμιτόνιον καὶ τριημιτόνιον· ἐν τοῖς δὲ τοῦ
βαρὺ κατοὐναντίον· τὸ δὲ διάτονον πῶς
μελῳδεῖται· ἐν τοῖς μὲν τὸ ὀξὺ καθ' ἡμιτόνιον
καὶ τόνον· ἐν τοῖς δὲ τοῦ βαρὺ κατοὐναντίον·
τὸ μὲν τοι διάτονον καθ' ἡμᾶς πῶς με-
λῳδεῖται· ἐν τοῦ πυκνοῦ τάξει διὰ τοῖς διὰ-
τὸ λέγεσθαι πυκνόν· τὸ ἔχον δύο διαστήμα-
τα· τοῦ ἑνὸς ἐλάσσω· τετράχορδον δὲ
τί ἐστι· τάξις φθόγγων ἑξῆς μελῳδουμένων
ὧν οἱ ἄκροι πρὸς ἀλλήλους συμφωνοῦσιν,
κατὰ τὸ διὰ τεσσάρων· τετραχόρδων πόσα
εἴδη ἐστὶ τρία· τίνα ταῦτα· πρῶτον μὲν
τοῦ ὑπὸ βαρὺ τοῦ πυκνῶν· περιεχόμενον·
δεύτερον δέ, τὸ ὑπὸ μέσου τοῦ πυκνῶν περι-
εχόμενον· τρίτον δὲ τὸ ὑπὸ ὀξὺ τοῦ
πυκνῶν περιεχόμενον· πόσα οὖν ἐστὶ τε-
τράχορδα ἐν τῷ μεταβόλῳ συστήματι,
κατὰ μὲν τὸ πλῆθος, ἀόριστα· κατὰ δὲ δύ-

μάτων, πέντε τινὰ ταῦτα ὑπάτων μέ-
σων· συνημμένων διεζευγμένων· ὑπερβο-
λαίων· πόσοι φθόγγοι ἐν τῷ ἀμεταβόλῳ
συστήματι· ὀκτωκαίδεκα· τίνες οὗτοι· [illegible]
[illegible]
τούτων πόσοι ἑστῶτες· η΄ τίνες οὗτοι· [illegible]
[illegible] φερόμενοι δέ, πόσοι· δέκα·
τίνες οὗτοι· [illegible] βαρύ-
τονοι τοῦ χρώματος, πόσοι· πέντε· τίνες οὗ-
τοι· [illegible] ὀξύτατοι δὲ τοῦ χρώματος ἐναρ-
μονίου πόσοι· πέντε· τίνες οὗτοι· [illegible]
[illegible] ὀξύτατοι δὲ χρώματι κοινῶς ἐπιγε-
γραμμένων, πόσοι· πέντε· τίνες οὗτοι·
[illegible] ἡ μὲν τοι μέση δοκεῖ ἔχειν πρὸς τὰς
λοιπὰς, τινὰ διαφορὰν, κατὰ μὲν γὰρ
τὰς συναφὰς, βαρύτονος· κατὰ δὲ
τὴν διάζευξιν, ἀ τοῦ κηνος· ἑστῶτας μὲν
οὖν φθόγγους διὰ τί λέγομεν εἶναι· διὰ τὸ
περιέχεσθαι ὑπ' αὐτῶν· τὰ τετράχορδα-
φερομένους δὲ, τοὺς ὑπὸ τούτων περι-
εχομένους· δι' ὧν τὰ διαστήματα πάντα
ἀνίεται· καὶ ἐπιτείνεται· τὸ λῆν διό-
τι ὧν τούτων· ἐκ λύσεως καὶ ἐκ κολλήσ-
τεως· ἐκλύσεις μὲν γὰρ ἀνίεται· ἐκ κολή-
σει ἐπιτείνεται ἐν τινι γένει· ἐναρμονίῳ·
ἐν ἄλλῳ δὲ γένει, οὐ· συναφὰς οὖν πό-
σας λέγεις ἐν αὐτοῖς ὑπάρχειν· τρεῖς·
τίνας ταύτας· οἷς οἷς κατὰ φθόγγον

ὀξύτατοι τοῦ χρώματος δ-
τόνου, πόσοι· πέντε· τί-
νες οὗτοι· [illegible]
κτοι πόσοι τρεῖς· τίνες
οὗτοι· [illegible]

ἡ κοινωνία ἐστί· λέγω δὲ οὕτως ὅταν δύο τε-
τραχόρδων· ὁμοιοσχημόνων φθόγγος ἑκά-
τερα κοινωνῇ· τοῦ μὲν βαρυτέρου τε-
τραχόρδου· ὀξύτερος ὤν· τοῦ δὲ ὀξυτέρου,
βαρύτερος· τοιοῦτοι οὖν αὐτὰ φθόγγοι συνα-
πτοιοί· τὸ μὲν ὑπάτων, πρὸς τὸ με-
τον ε̄· τὸ δὲ μέσων τῶν συνημμένων τὸ ζ̄·
τὸ δὲ διεζευγμένων, τοῦ ὑπερβολαίων· τὸ
θ̄· διάζευξις δὲ ἐστι, δύο βαρυπύκνων
φθόγγων· ἔσται τόνος ἀναμέσον· πρὸς ὅσ-
ουν ἐροῦμεν διάζευξις· δύο τινὰς ταύ-
τας· τὴν μέσων καὶ συνημμένων· τὴν
μὲν οὖν μέσων καὶ διεζευγμένων ὑπὸ
ποίων φθόγγων ὑπὸ λ̄ καὶ ζ̄· καὶ τὴν
συνημμένων τῶν ὑπερβολαίων· ε̄
ὑπὸ ποίων φθόγγων ὑπὸ ῡ καὶ θ̄· ταῦ-
δὲ εἰς τὸ αὐτὸ πρὸς ἑαυτῷ πῶς συμ-
φωνεῖ· τὰ μὲν συνημμένα κατὰ τὸ
διὰ δ̄· τὰ δὲ διεζευγμένα κατὰ τὸ διὰ ε̄·
ἔκλυσις οὖν τί ἐστι· ὅταν ἀπό τινος
φθόγγου ἁρμονίας· ἀνεθῶσι τρεῖς διέ-
σεις· ἐπὶ τοῦ ὀξυπύκνου· οἷον· [illegible]
ἐπὶ τὸ χ̄· ἐκβολὴ δὲ τί ἐστι· ὅταν ἀπό τι-
νων φθόγγου ἁρμονίας ἐπιταθῶσι
πέντε διέσεις· οἷον ἀπὸ [illegible] ἐπὶ τὸ ῡ·
καὶ ἡ μὲν ἔκλυσις, κατὰ ἄνεσιν· ἡ δὲ
ἐκβολή, κατ' ἐπίτασιν συνίσταται·
εἴδη πρὸς φθόγγον τρία· τίνα ταῦτα·

ὑπατοειδῆ· παρυπατοειδῆ· λιχανοειδῆ· ὑπατοειδῆ οὖν ποῖον λέγομεν εἶναι· τὸν βαρύτερον τοῦ πυκνοῦ· παρυπατοειδῆ δὲ τὸν μέσον τοῦ πυκνοῦ· λιχανοειδῆ τὸν ὀξύτατον τοῦ πυκνοῦ· τρόποι δὲ τῆς φωνῆς, πόσοι λέγομεν εἶναι· τρεῖς· τίνας· τούτους ὀξὺν· μέσον· βαρύν· πάθη δὲ τῆς μελῳδίας, πόσα λέγομεν εἶναι· δ΄· τίνα ταῦτα· ἄνεσιν· ἐπίτασιν· μονήν· πάσιν· ἄνεσις τί ἐστι· κίνησις μελ(ῳδίας) ἀπὸ τοῦ ὀξυτέρου φθόγγου, ἐπὶ τὸν βαρύτερον· ἐπίτασις τί ἐστι, ἐπίτασις ἐστὶ κίνησις μελῶν ἀπὸ τοῦ βαρυτέρου φθόγγου ἐπὶ τὸν ὀξύτερον· μονὴ δὲ τί ἐστι· ὅταν ἐπὶ τοῦ αὐτοῦ φθόγγου πλείονες λέξεις μελῳδῶνται· πάσις δὲ τί ἐστι· πάσις ἐπὶ ὑπάρξεις ἐμμελοῦς φθόγγου· οἷον τοὺς τρεῖς τρόπους ᾄδομεν τίνας ᾄδουσι· λύδιον· φρύγιον, δώριον· οἱ δὲ τοὺς ἑπτὰ τίνας· μιξολύδιον· λύδιον· φρύγιον· δώριον· ὑπολύδιον· ὑποφρύγιον· ὑποδώριον· τούτων, ποῖος ὀξύτερος, ὁ μιξολύδιος· τούτου δὲ, ποῖος ἐχόμενος, ὁ λύδιος πόσῳ βαρύτερος· ἡμιτονίῳ· τοῦ δὲ λυδίου, ποῖος βαρύτερος· ὁ φρύγιος· πόσῳ τόνῳ· τοῦ δὲ λυδίου, ὁ μιξολύδιος τριημιτονίῳ· τούτου δὲ, ποῖος βαρύ-

τερος· δώριος· πόσῳ βαρύτερος· τοῦ
μὲν φρυγίου, τόνῳ· τοῦ δὲ λυδίου, διτό-
νῳ· τοῦ δὲ μιξολυδίου, διὰ τεσσάρων·
τοῦ του δὲ ποῖος βαρύτερος· ὑπολύδιος·
πόσῳ ἡμιτονίῳ· τοῦ δὲ φρυγίου· πόσῳ·
τριημιτονίῳ· τοῦ δὲ λυδίου, διὰ τεσσάρων·
τοῦ δὲ μιξολυδίου, τριτόνῳ· τοῦ δὲ ὑπο-
λυδίου, ποῖος βαρύτερος· ὑποφρύγιος·
πόσῳ βαρύτερος; τόνῳ· τοῦ δὲ τοῦ δὲ δω-
ρίου, τριημιτονίῳ· τοῦ δὲ φρυγίου, τῷ
διὰ δ· τοῦ δὲ λυδίου· τῷ διὰ ε· τοῦ δὲ μι-
ξολυδίου, τετρατόνῳ· τοῦ δὲ ὑποφρυ-
γίου ποῖος βαρύτερος ὑποδώριος· πό-
σῳ τόνῳ· τοῦ δὲ ὑπολυδίου, τετρατόνῳ·
καὶ ἡμιτονίῳ· τοῦ δὲ μιξολυδίου πεν-
τατόνῳ· πρόπος δὲ τί ἐστι· τὸ λοχῆς
ἐμμελοῦς σχῆμα· τὸ λοχῆς δὲ μέλος
τί ἐστι· ὃ διὰ τῶν ἑπτὰ φθόγγων μελῳδεῖ-
ται· ὅτε μὲν ἀνιέμενος τῆς μελῳδίας·
μεταβολὰς δὲ πόσας λέγομεν εἶναι· ε·
τινὰς ταύτας· συστηματικὴν· κατὰ τρό- γενικὴν
πον· κατὰ ἦθος· κατὰ ῥυθμόν· ποίας
θέσιν συστηματικὴ ποία ἐστίν· ὅταν ἐκ τοῦ
ὑποκειμένου συστήματος, εἰς ἕτερον σύστη-
μα ἀναχώρησιν ἡ μελῳδία· ἑτέραν μέσην
κατασκευάζουσα· γενικὴ δὲ ποία ἐστίν· ὅ-
ταν ἐκ γένους εἰς γένος· οἷον ἐξ ἁρμονίας
εἰς χρῶμα· ἢ εἰς τοιοῦτον τι μεταβληθῇ· ἡ δὲ

κατὰ τρόπον ποιά· ὅταν ἐκ λυδίου εἰς -
φρύγιον· ἢ εἰς τινα τῶν λοιπῶν μεταχω-
ρήσει· ἡ δὲ κατὰ ἦθος· ὅταν ἐκ ταπεινοῦ·
εἰς μεγαλοπρεπὲς· ἢ ἐξ ἡσύχου καὶ σου-
νου εἰς παρακεκινηκὸς γένηται· ἡ δὲ κα-
τὰ ῥυθμὸν ποιά· ὅταν ἐκ χορείου εἰς
ἢ εἰς τινα τῶν λοιπῶν μεταβῇ· ἡ δὲ κατὰ -
ῥυθμοῦ ἀγωγὴν ποιά· ὅταν ῥυθμὸς ἀ-
πὸ ἀρσέως ἢ θέσεως γένηται· ἡ δὲ κατὰ ῥυθ-
μοποιίας θέσιν ποιά· ὅταν ὅλος ῥυθμὸς
κατὰ βάσιν ἢ κατὰ διποδίαν βαίνη-
ται· μεταβολὴ δέ τι ἐστὶ· ἑτεροίωσις τῶν
ὑποκειμένων· ἢ καὶ ὁμοίου τινὸς· εἰς,
ἀνόμοιον τόπον μετάθεσις· συμφωνία
δέ τι ἐστὶ· ὅταν δύο φθόγγων ἀνομοίων τυ-
πτομένων τοῦ βαρυτέρου φθόγγον τὸ μέ-
λος· ὑπάρχῃ· ἢ τοῦ ὀξυτέρου, ὁμοφω-
νία δέ τι ἐστὶ· ὅταν ἅμα δύο φθόγγοι ὁμοί-
ως τυπτόμενοι· μήτε ὀξύτεροι· μήτε βα-
ρύτεροι, ἀλλήλων ὑπάρχουσι· παρα-
φωνία δέ τι ἐστὶ ὅταν δύο φθόγγων ἀνομοί-
ων τυπτομένων· οὐθέν τι μᾶλλον τοῦ -
βαρυτέρου φθόγγου, ἢ τοῦ ὀξυτέρου τὸ -
μέλος ὑπάρχει· διάγραμμα δέ τι ἐστὶ·
συστήματος ὑπόδειγμα· ἢ τοιοῦτος·
διάγραμμα ἐστὶ σχῆμα ἐπίπεδον· εἰς
ὃ πᾶν γένος μελῳδεῖται· διάγραμμα τι δὲ

χρώμεθα· ἵνα τῇ ἀκοῇ δηλωτὰ πρὸ ὀ-
φθαλμῶν τοῖς μανθάνουσι φαίνηται· πό-
σα χορδῶν ἐπὶ τὸ συνημμένον ἑπτὰ χορ-
δῶν· τὸ δὲ διεζευγμένον ὀκτὰ χορδῶν·
σύνθετον διάστημα καθόλου ποῖον
λέγομεν εἶναι· τὸ διαιρούμενον· μέσης
δὲ φαμὲν εἶναι ὅρους· ἢ τῆς τριῶν συνημ-
μένων τετραχόρδων· τοῦ μέσου ὀ-
ξυτάτη ἐπὶ τῶν οἶδε οὕτως· μέση ἐπὶ τῶν ἡ-
μεταξὺ τόνου καὶ διὰ τόνου ἀσύν-
θετου κειμένη· καὶ ἡ τῆς τριῶν τετρα-
χόρδων ἑξῆς κειμένων τοῦ ὀξυτάτου
φθόγγου ἐπὶ· βαρύτερα τῇ διὰ δ σύμ-
φωνία· καὶ ἀφῆς ἐπὶ ἀνίεται διὰ δ
καὶ διὰ ε· καὶ ἀφῆς τόνος, καὶ τοῦ κ
ἐπιταθήσεται· καὶ ἀφῆς ἐπὶ συνα-
φῆ τε καὶ διάζευξις· καὶ ἀφῆς ἀνί-
εται διὰ πασῶν καὶ ἐπιτείνεται διὰ
πασῶν ὁ τόνος, πόσων διέσεων δι-
πόσων δὲ ἡμιτονίου β· τί πρῶτον
στοιχεῖον τῶν κατὰ μουσικήν· φθόγγος
ὁ ἐπὶ φωνῆς τάσις ἐπὶ μίαν πτῶσιν
τέλος· πᾶς δὲ φθόγγος ἔχει σχῆμα
ὄνομα δύναμιν· τόνον ἐν μουσικῇ
πόσαχῶς λέγομεν ὑπάρχειν· διαφωσ
τὸν μέν, ἐπὶ τοῦ ὀξύτητος· τὸν δὲ ἐπὶ δι-
αστήματος· ποῖον ἐπὶ ὀξύτητος· τὸ
ᾄδειν ἕτερον ὀξύτερον ἢ βαρύτερον· ἢ-

ὄργανον ὀργάνου ἡρμόσθαι βαρύτερον·
ἢ ὀξύτερον· ὥδη ποσῷ τῷ διαστήματι
τοῦ δὲ ἐπὶ διαστήματος, ποίου; ὡς μεῖ-
ζον ἡ διὰ ε̄ συμφωνία τῆς διὰ δ̄· φθόγ-
γων δὲ πόσα λέγομεν εἶναι γένη; δύο· τού-
των δέ, οἱ μὲν ἐμμελεῖς καλοῦνται,
οἱ δὲ πεζοί· ποῖοι ἐμμελεῖς ποῖοι εἰσίν· οἷς
οἱ ᾄδοντες χρῶνται· καὶ οἱ διὰ τῶν ὀρ-
γάνων τι ἑρμηνεύοντες· τούτου γὰρ
μὴ ὑπάρχοντος, ἀδύνατον τι τῶν
κατὰ μουσικὴν δεῖξαι· πεζοὶ δὲ ποῖοι
εἰσὶν οἷς οἱ ῥήτορες χρῶνται· καὶ οἷς ἐ-
αυτοὶ πρὸς ἑαυτοὺς λαλοῦμεν· καὶ
οἱ μὲν ἐμμελεῖς ὡρισμένα ἔχουσι τὰ δι-
αστήματα· οἱ δὲ πεζοὶ ἀόριστα· φθόγγων
δέ, πόσα λέγομεν εἴδη; τρία· τίνα ταῦ-
τα· ἔσχατον· μέσον· ἡγούμενον· τῶν
συμφωνιῶν εἴδη πόσα· τρία· τίνα
ταῦτα· ἀπ᾽ ἐσχάτου· ἐπ᾽ ἔσχατον· ἀ-
πὸ μέσου· ἐπὶ μέσον· ἀφ᾽ ἡγουμένου·
ἐπὶ ἡγούμενον· πόσα δὲ φθόγγος ἔχει·
σχῆμα· ὄνομα· δύναμιν, αὐτὸ οὖν
τὸ διάστημα νοητόν ἐστι, ἢ ἀκουστόν· νο-
ητόν· εἰ γὰρ ἦν ἀκουστόν· καὶ ὁ ἰδιώτης
ἀκούων αὐλητῶν, ἢ ψαλτῶν ἢ ᾠδῶν·
ᾔδει ἄν τί ἐστι τὸ διάστημα κατ᾽ ἰδίους δὲ
νοητὸν· καὶ ἀκουστῶν δοκεῖ εἶναι· ἀδύ-
νατον γάρ ἐστιν ὅπως αἱ μὴ ἀκούσαντα·

τινὶ· οἷον ἐπὶ ἡμιτόνου μεγέθει τόνῳ· ἢ ἡμιτονί-
ῳ· ὀξύτητι· βαρύτητι· ῥυθμὸς δέ ἐστιν ἐπὶ χρό-
νου καταμετρήσεως· μετὰ κινήσεως γινο-
μένης ποιάς τινος· πόσα οὖν ἐστι τέ-
λεια συστήματα· ἐν τῷ ἀμεταβόλῳ σύ-
στημα τὰ ιγ· πρὸς ταῦτα· συνημμένον
τε καὶ διεζευγμένον· τούτων οὖν διαφο-
ραί τινες· τοῦ μὲν συνημμένου διὰ πα-
σῶν καὶ διὰ τεσσάρων· τοῦ δὲ διεζευγμέ-
νου διὰ πασῶν καὶ διὰ ε· τετραχόρ-
δων δέ ἐστιν εἴδη πόσα· τρία· ἐν μὲν διὰ
τόνων πρῶτον μέν, οὗ τὸ ἡμιτόνιον ἐπὶ τὸ
βαρύ· δεύτερον οὗ ἐπὶ τὸ ὀξύ· τρίτον δέ, οὗ
περιέχεται· τοῦ δὲ διὰ πέντε δ΄ ἐστὶν εἴδη·
πρῶτον μέν, οὗ πρῶτος ὁ τόνος ἐπὶ ἐ-
πὶ τὸ ὀξύ· οἷον τοῦ παρυπάτη καὶ παραμέσης· δεύ-
τερον δέ· τὸ βαρυπάτης καὶ τρίτης· τρί-
τον οὗ τρίτος τὸ χαλίμου παρανήτης·
τέταρτον· οὗ τέταρτος οἷον τὸ μέσης καὶ
νήτης· τοῦ δὲ διὰ πασῶν, εἴδη ἐστὶν ἑπτά·
πρῶτον μέν, οὗ πρῶτος ἐπὶ τὸ ὀξὺ ὁ
τόνος· οἷον τὸ ὑπάτης ὑπατῶν καὶ παρα-
μέσης· ἐκαλεῖτο δέ, ὑπὸ τῶν ἀρχαίων, μι-
ξολύδιος, δεύτερον δέ, ἐπὶ τὸ ὀξύ· οἷον τὸ
παρυπάτης ὑπατῶν· καὶ τρίτης διεζευγ-
μένων· ἐκαλεῖτο δὲ λύδιον· τρίτον, οὗ τρί-
τος· οἷον λιχανὸν ὑπατῶν καὶ παρανή-
της· ἐκαλεῖτο δὲ φρύγιον· τέταρτον, οὗ

τέταρτος· οἷον τὸ ὑπάτης μέσων καὶ νή-
της· ἐκάλει τὸ δὲ δώριον· πέμπτον οὗ-
πέμπτος· οἷον τὸ παρυπάτης καὶ τρι-
τον ὑπερβολαίων· ἐκάλει τὸ δὲ ὑπολύδι-
ον· ἕκτον· οὗ ἕκτος οἷον τὸ λιχανοῦ πα-
ρανήτης ὑπερβολαίων· ἐκάλει τὸ δὲ ὑπο-
φρύγιον· ἕβδομον· οὗ ἕβδομος· οἷον τὸ·
μέσης καὶ νήτης ὑπερβολέων· ἐκάλει-
τὸ δὲ ὑποδώριον καὶ κοινὸν καὶ λοκριστί·
οἷον ὧν λίχανοι· καὶ αἱ παρανῆται· ἰσο
δύναμοι οἷσι τοῖς διατόνοις· τοσαῦτα μὲν
οὖν ἐπὶ τῶν συμφωνιῶν τὰ εἴδη ἐν τῇ-
μουσικῇ τέχνῃ· δι' ὧν πᾶσα μελοποιΐα
συνίσταται· μέλος δὲ ἐστὶ· τὸ ἐκ φθόγγων
καὶ διαστημάτων καὶ χρόνων συγκειμένων·
γένοις δὲ μέλος ἦθος· καθολικόν τι παρεμ-
φαίνων· ἔχων ἐν ἑαυτῷ διαφόρους ἰδέας·
θέσεις δὲ τετραχόρδων· ἧς τὸ μέλος ὁρί-
ζεται· εἰσὶν ἑπτὰ· συναφὴ· διάζευξις·
ἀποδιάζευξις· ἐπισυναφὴ· ὑποσυ-
ναφὴ· παραδιάζευξις· ὑπερδιάζευξις·
τούτων δὲ ὡρισμένων μὲν δ· ἀορίστων δὲ γ·
ἀόριστοι μὲν οὖν εἰσὶ· ἥ τε συναφὴ· καὶ ἡ-
διάζευξις· καὶ ἡ ὑποδιάζευξις· ὡρισ-
μέναι δὲ, ἥ τε συναφὴ καὶ ἡ ὑποσυνα-
φὴ· καὶ ἡ παραδιάζευξις· καὶ ἡ ὑπερ-
διάζευξις· τὴν δὲ διαφορὰν ἔχουσιν αἱ
ἀόριστοι θέσεις τῶν τετραχόρδων· τῷ

τὰς ὡρισμένας τὴν δέ· ὅταν ἐν τῷ ἀ-
μεταπόλω σύστημά τι· πολὺ τὸ μέλος
διώκηται· ἢ ἐφ' ἑτέρου τρόπου καὶ ἄλλου γί-
νεσθαι· τὸ δὴ τοιοῦτον μέλος ἀόριστον
καλεῖται· συναφὴ τί ἐστι· συναφὴ μὲν ὅ-
ταν δ' εἰ ἐν τετραχόρδων· ἑξῆς κειμέ-
νων ἐπὶ κοινὸς φθόγγος ὤν· τοῦ μὲν βα-
ρυτέρου τετραχόρδου ὀξύτερος εἴη τὸ διὰ-
δ΄· τοῦ δὲ ὀξυτέρου βαρυτέρου ἡ τε διὰ δ΄
συμφωνία· καὶ τὰ ἤθη τῶν φθόγγων· πρὸς
ἄλληλα τὴν διὰ συμφωνίαν ἀναποτε-
λεῖ· συναφαὶ δὲ εἰσί· τρεῖς· συνῆπται
γὰρ τῶν ὑπατῶν τὸ μέσον· καὶ τὸ με-
σῶν τῶν συνημμένον· καὶ τὸ διεζευγ-
μένον τὸ ὑπερβολαίων· τὸ μὲν οὖν ὑ-
πατῶν· καὶ μέσων συνῆπται ἡ ὑπά-
τη μέσων κοινὸς ὢν αὐτοῦ φθόγγος· τὸ δὲ
μέσων καὶ συνημμένων· κατὰ τὴν αὐ-
τὴν ἀναλογίαν, ἡ μέση συνάπτει· ὡς
ὁμοίως δὲ καὶ τὸ διεζευγμένον· καὶ
τὸ ὑπερβολαίων· συνάπτει ἡ νήτη
διεζευγμένων· τί ἐστι διάζευξις· διάζευ-
ξις δέ ἐστιν ὅταν δύο ἐν τετραχόρδωρ-
δων· τόνος ἀναμέσον εἴη· καὶ τὰ ἤθη
τῶν φθόγγων· κατὰ τὴν διὰ ε΄ συμφωνεῖ·
πρὸς ἄλληλα· διάζευξις δὲ εἰσὶ δύο·
διέζευκται γὰρ τὸ μέσον τετραχόρδων,
ἀπὸ τοῦ διεζευγμένων· καὶ τὸ συνημ-

μένον, ἀπὸ τοῦ ὑπερβολαίων· ὑπὸ
διάζευξις πῶς ἐστι· ὑπὸ διάζευξις δὲ ἐστι·
ὅταν δύο τετραχόρδων μεταξὺ τεθῇ ἡ
διὰ ε συμφωνία· καὶ οἱ φθόγγοι κατὰ τὸ
διὰ πασῶν συμφωνῶσι πρὸς ἀλλή-
λοις· ὑπὸ διάζευξιν δὲ εἰσὶ δύο· ὑπο-
διάζευκται γὰρ τὸ ὑπατῶν τετραχόρ-
δον· ἀπὸ τοῦ διεζευγμένων· καὶ τὸ με-
σον ἀπὸ τοῦ ὑπερβολαίων· ἐπισυ-
ναφὴ πῶς ἐστι· ἐπισυναφὴ δέ ἐστιν ὅταν τρία
τετράχορδα κατὰ συναφὴν ἑξῆς με-
λῳδηθῇ· οἷον ὑπατῶν, μέσων· συνημ-
μένον· ὑπὸ συναφὴ πῶς ἐστι· συναφὴ δὲ
ἐστὶν ὅταν δύο τετραχόρδων ἀνὰ μέσον
γένηται ἡ διὰ δ συμφωνία· καὶ οἱ ὁμο-
γενεῖς φθόγγοι κατὰ τοὺς ε τόνους· συμ-
φωνῶσι πρὸς ἀλλήλους ὑπὸ συνῆπται
δὲ τὸ ὑπατῶν τετραχόρδου· τῷ συνημ-
μένων· τὸ διάζευξις πῶς ἐστι· τὸ διάζευ-
ξις δὲ ἐστι, ὅταν ταθῇ τῶν φθόγγων το-
νιαῖον διάστημα πρὸς ἄλληλα ἀπο-
τελεῖ· παραδιέζευ καὶ δὲ τὸ συνημ-
μένον· τῷ διεζευγμένων· ὑπερδιά-
ζευξις δὲ ἐστι· ὅταν δυεῖν τετραχόρδων
ἀνὰ μέσον ὑπάρχει ἡ διὰ πασῶν σύμ-
φωνία· ὑπερδιέζευκται δὲ τὸ ὑπα-
των τετραχόρδον ἀπὸ τοῦ ὑπερ-
βολαίων· αἰτίας οὖν τόσας λέγειν εἰ-

μαι· δ̄· τίνας ταύτας· τὸ πόσον· τόνον·
σύστημα· μελοποιΐα· ἐνίοτε μὲν πάντα
ταῦτα αἴτια εἰσὶ μεταβολῆς· ἐνίοτε δὲ
τὸ πρῶτον· ἢ τὸ δεύτερον· ἢ τὸ τρίτον· με-
τρῶν δὲ καὶ ῥυθμῶν συμμίκτων· πάν-
τα μετρεῖται τὰ εἴδη· συλλαβαῖς ποσί·
καταλήξεσι· συλλαβὴ τί ἐστι· σύλληψις στοι-
χείων β̄· ἢ πλειόνων πάντως ἑνὸς
τῶν φωνηέντων περιλαμβανομένων·
λέξις τί ἐστι· φωνὴ ἔγγραμματος μέρος
λόγου παριστῶσα· βάσις δὲ τί ἐστι· σύν-
ταξις ποδῶν ἢ πόδες καταλήξεων· κα-
τάληξις δὲ τί ἐστιν· ἢ παντὸς ἐλλείπον-
τος μέτρου, τελευταία συλλαβή· ῥυθμὸς
δὲ τί ἐστι· χρόνου καταμέτρησις κινήσε-
ως γινομένη ποιᾶς τινος· κατὰ δὲ Φαί-
δρον· ῥυθμός ἐστι συλλαβῶν κειμένων
πως πρὸς ἀλλήλας ἔμμετρος θέσις·
κατὰ δὲ Ἀριστόξενον· χρόνος διῃρημένος
ἐφ' ἑκάστῳ τῶν ῥυθμίζεσθαι δυναμένων
κατὰ δὲ Νικόμαχον, χρόνων εὔτακτος σύν-
θεσις· κατὰ δὲ Λεόφαντον χρόνου σύν-
θεσις· κατὰ ἀναλογίαν τε καὶ συμμετρί-
αν· πρὸς ἑαυτοὺς θεωρουμένων· κατὰ
δὲ Δίδυμον ἀφανὴς ποιᾶς σχηματισμὸς
ἡ μὲν οὖν φωνὴ ποιῶς σχηματισθεῖσα
ῥυθμὸν ἀποτελεῖ· καὶ γίνεται δὲ οὕτως·
ἢ περὶ λέξεις ἢ περὶ μέλος ἢ περὶ σωμα-

τικὴν κίνησιν· συμπλέκεται δὲ οὕτως
ἐκ χρόνων ποσῶν· τριῶν· ποίων τού-
των χρόνων· βραχυσυλλάβου τε καὶ μα-
κροῦ καὶ ἀλόγου· βραχὺς ποῖος ἐστίν·
ὁ ἐλάχιστός τε καὶ εἰς μερισμοὺς ἀτμήτων·
μακρὸς δὲ ποῖος· ὁ τούτου διπλάσιος·
ἄλογος δὲ ποῖος· ὁ τοῦ μὲν βραχέος
μακρότερος· τοῦ δὲ μακροῦ ἐλάσσων ὑ-
πάρχων· ὁπόσων δὲ ἐστὶν ἐλάσσων ἢ μεί-
ζων· διὰ τὸ λόγῳ εἶναι δυσαπόδοτον
ἐξ αὐτοῦ τοῦ συμβεβηκότος· ἄλογος
ἐκλήθη· χρόνων δὲ συμπλοκαὶ ἐν ῥυθμοῖς
πόσαι γίνονται· τέσσαρες· συμπλέκε-
ται δὲ βραχὺς βραχεῖ· μακρὸς μακρῷ·
ἄλογος βραχεῖ· ἄλογος μακρῷ· πᾶς
δὲ φθόγγος ἔχει σχῆμα· ὄνομα· δύναμιν·
σχῆμα τί ἐστι· ὁ τὸ στοιχεῖον σημαίνων τύ-
πος· ὄνομα δὲ ἐστὶ τὸ κατὰ τοῦ σχήμα-
τος τιθέμενον· δύναμις δὲ ἐστὶν ἡ ἑκάστου
τῶν φθόγγων ἐν ὀργάνοις ἐκφώνησις·
ἐκφώνησιν ποίαν εἶναι λέγομεν· ὅταν
μετέωρος ἦ ὁ πούς· ἡνίκα ἂν μέλλωμεν
ἐμβαίνειν· θέσιν δὲ ποίαν· ὅταν κείμενος·
τὸν δὲ ἀναμέσον τῆς ἄρσεως· καὶ τῆς θέσε-
ως χρόνον οὐκ ἀξιοῦν ἐπιζητεῖν ὡς ὄντα
τινὰ τῶν κατὰ μέρος· διὰ γὰρ τὴν βραχύ-
τητα λανθάνει καὶ τὴν ὄψιν καὶ τὴν ἀκο-
ήν· πόσα δὲ καὶ τίνα ἐστὶ στοιχεῖα· ὧν εἰ-

λαχίστην δεικνύων· τῶν δὲ ῥυθμῶν
εἰσὶν· οἱ μὲν ἁπλοῖ· οἱ δὲ συμπεπλεγ-
μένοι· πόσοι οὖν εἰσὶ ῥυθμοί· δέκα· τί-
νες οὗτοι· ἡγεμὼν· ἴαμβος· χορεῖος·
ἀνάπαιστος· ὄρθιος· σπονδεῖος· συμ-
πεπλεγμένοι δὲ· πόσοι· τέσσαρες· παι-
ὰν· βακχεῖος· δόχμιος· αἰνοπαῖος·
τῶν οὖν ἁπλῶν ποῖος ἄρχεται πρῶ-
τος· ἡγεμών· σύγκειται δὲ ἐκ δύο χρόνων
ἐλαχίστων· ἄρχεται δὲ ἀπὸ ἄρσεως· καὶ
ἔχει σὺν αὐτῷ· ἕνα τὸν ἐλάχιστον χρόνον·
ὁμοίως καὶ ἐν τῇ θέσει· ὑπόδειγμα δὲ αὐ-
τοῦ λέγοιεν λόγος· δεύτερος δὲ τίς· ἴαμβος·
σύγκειται δὲ ἐκ βραχέος καὶ μακροῦ χρό-
νου· ἄρχεται ἀπὸ ἄρσεως· οἷον·
ἐπῶ· τρίτος δὲ ποῖος· χορεῖος· ὃν ἔτη-
κε δὲ, ἐκ μακροῦ καὶ βραχέος χρόνου· ἄρ-
χεται δὲ, ἀπὸ ἀποθέσεως οἷον πῶλος·
τέταρτος δὲ, ἀνάπαιστος ἐκ β̄ βραχει-
ῶν· ἄρσεως καὶ μακρᾶς θέσεως· οἷον
βασιλεύς· πέμπτος ὁ ὄρθιος ἐξ ἀλό-
γου ἄρσεως καὶ μακρᾶς θέσεως· οἷον ὀρ-
γή· ἕκτος δὲ, σπονδεῖος, ἐκ θέσεως μα-
κρᾶς οἷον σπένδω ἕβδομος παιὰν σύν-
θετος καὶ ἡγεμόνος· οἷον εὐπλόκαμεν·
ὄγδοος δὲ βακχεῖος ἀφ' ἡγεμόνος καὶ σπον-
δείου· οἷον τέθρηκω ἔνατος δὲ δόχμιος·
ἐξ ἰάμβου καὶ ἀναπαίστου· καὶ παιᾶνος

τοῦ κατὰ μᾶσιν· οἷον ἔμενεν ἐκ τροίας
χρόνον· δέκατος δὲ ἐνόπλιος· ἐξ ἰάμ-
βου καὶ ἡγεμόνος· καὶ χορείου· καὶ ἰάμ-
βου· οἷον ὦ τὸν πίτυος στέφανον:·

## Εἰσαγωγὴ τέχνης μουσικῆς Βακχείου τοῦ γέροντος

Ἡ μουσικὴ τέχνη, πᾶσαν τὴν
δογματοποιίαν σπουδάσασθαι φη πρὸς
τὴν ἀκοήν· πᾶσα δὲ αἴσθησις ἄλογος, τα-
χὺ μέρος ἐπὶ κριτήριον· καὶ τῆς ἐκλογίας
ἀκριβολογίας δεόμενον· διὸ ἡ μουσικὴ τε-
χναζομένη τῆς ἐν τοῖς πράγμασιν ἀκρι-
βείας· τὸ διαφεῦγον καὶ λανθάνον τὴν
ἀκοήν, ἐπειράθη διὰ γραμμῶν καὶ διὰ ἀριθμῶν·
καὶ διὰ τῶν λόγων τῶν ἐν τοῖς ἀριθμοῖς·
οὐκ ἀποχωρήσασα ἀπὸ τῆς ἀκοῆς· ἀλ-
λὰ διὰ ταύτης λαμβανομένη τοῖς φθόγ-
γοις τὸ ἐν αὐτῇ παράλλαγον ἔκρινεν ἀ-
κριβῶς· καὶ δὲ ἔτι διὰ τῶν λόγων· ὅτι
δὲ ἐπὶ πᾶσα ἄλογος αἴσθησις· ταχὺ με-
ρῶς πάντων τῶν πραγμάτων ποιου-
μένοι ἀντίληψιν καὶ οὐκ ἀκριβῶς ῥᾴδι-
ον ἐπιτηρήσαντα μονῆσαι· ἡ γὰρ τοι ὅρασιν
ποιεῖται ἀντίληψιν χρωμάτων· σχη-
μάτων· μηκῶν· πληθῶν· καὶ εὐθέως ἐ-
πὶ τῶν χρωμάτων τί πρὸς ἐπὶ λευκότερον·
τὸ μὲν τῷ βραχὺ οὐκ ἂν δυνηθείη διαγνῶ-

ναι· τὸ δὲ τοι παρὰ πολὺ διίσταται· εἰ-
γέ τοι δύο ἱμάτια εἴη κείμενα λευκά· ὧν
τὸ μὲν εἴη μίαν ἡμέραν πεφορημένον·
τὸ δὲ ἀπολλῶς ἀφόρητον· οὐκ ἂν διαγνώη
ἡ ὅρασις καίπερ τε πεπινωμένης τῆς
πεφορημένης ἐσθῆτος· ἀλλ' ἐπειδὴ παρ' ὑ-
ὀλίγον τὸ παράλλαγμα γίνεται, οὐδα-
μῶς, καὶ ἰσχύει διαγνῶναι· ἀναλόγως
δ' ἂν, καὶ ἐπὶ σωροῦ νομισμάτων εἴπερ εἴη ὁ-
που μὲν χίλια κείμενα· ὅπου δὲ χίλια δέ-
κα· οὐκ ἂν γνῴη ἡ ὅρασις τὸ πλέον μικροῦ
ὄντος τοῦ παραλλάγματος· ἐπί τε μήκους,
τὸ παραπλήσιον ἂν συμβαίη· εἰ παρ' ὀλί-
γον εἴη τοῦ ἑτέρου μεῖζον· τὸ δὲ αὐτὸ καὶ
ἐπὶ χρώματος· ὁ δὲ αὐτὸς λόγος ἐπὶ ἁφῆς· καὶ
ἐπὶ τῆς ὀσφρήσεως· καὶ γὰρ ἡ δὲ ἡ αἴσθη-
σις· τῆς μὲν παρὰ πολὺ διαφορᾶς, ποι-
εῖ τὴν διάκρισιν τοῦ δὲ παρ' ὀλίγον οὐδα-
μῶς· εἰ οὖν εἴη μοῖρα ἀλκῶν τὰ αὐτοῦ καὶ
ἴσων ἐσκευασμένα· εἶτα προσθῶ τῷ ἑτέ-
ρῳ· περὶ τὸν ἕτερον κρόκου ἢ σμύρνης·
οὐκ ἂν διαγνῴη ἡ αἴσθησις· καίπερ ὁμολο-
γουμένως ἑνὸς δὲ τοῦ ἑτέρου ὄντος ἐκείνου· ὡς
παραμέμικται περιττόν· ἡ σμύρνα ἢ κρό-
κος καὶ μὴν καὶ ἐπὶ τῆς αἰσθήσεως τῆς
γευστικῆς ταὐτόν ἐστι· εἴπερ τις θείη οἰνόμε-
λι ἐν ἀγγείοις δυσὶν ἴσοις· ἐκ τοῦ αὐτοῦ μέλιτος
καὶ οἴνου ἐσκευασμένα εἶτα ἐπιχέοι τις

κύαθον ἐπὶ τὸ ἕτερον οἴνου· τὸ πλεῖον οὐ-
κ ἂν ἔχει ἡ γεῦσις διορίσαι οὐδὲ τὸ ἶσον· ἐπεί-
γε μὴν τῆς ἁφῆς οὐκ ἂν διορισθείη τὸ ἀ-
κριβὲς· οὐδὲ κατὰ τὴν ποιότητα τοῦ
θερμοῦ καὶ ψυχροῦ· οὔτε κατὰ ἄλλα· εἴ-
γε τις θείη δίου ἄρη· τὸ μὲν ἑκατὸν ἕλκον
δραγμὰς· τὸ δὲ, ἑκατὸν δέκα· οὐκ ἂν δια-
γνωσθείη τῇ αἰσθήσει· οὕτω δὲ καὶ ἐπὶ τὸ
ἕτερον θερμὸν· εἰ κύαθον ψυχροῦ μίξαις
οὐκ ἂν εὔδηλον γένοιτο ἡ τοῦ μικροῦ διαφο-
ρὰ· ὁμοίως οὖν καὶ ἐπὶ τῆς ἀκοῆς· εἰ-
γάρ τις δοίη τις ἄκρῳ μουσικῷ ἁρμόσα-
σθαι λύραν εἶτα ταύτην κομίσειε παρ᾽ ἕ-
τερον, ἢ ἐπιτείνῃ ἐν ἂν τοῖς φθόγγοις ἢ
ἀνήσει· οὕτως ἡ τοῦ μικροῦ διαφορὰ ἀ-
κατάληπτος ταῖς αἰσθήσεσιν· καὶ μὴν
εἴ τις ἁρμόσαι τὸ λύραν· εἶτα ἕτερος πρὸς
ταύτην σύμφωνον ἄλλην· εἶτα πρὸς τὴν
δευτέραν ὁ τρίτος· εἶτα πρὸς τὴν τρί-
την ὁ τέταρτος· εἶτα πρὸς τὴν τετάρτην
ὁ πέμπτος· καὶ συμβάλει τήν τε πρώ-
την· καὶ τὴν ἐπὶ πᾶσι λύραν· οὐκ ἂν
εὑρεσθείεν σύμφωνοι· οὕτως τὸ παρα-
μικρὸν λέληθε· καὶ πολλὴν ποιεῖ τὴν πα-
ραλλαγήν· καὶ μὴν φασὶ οὐ μόνον τὰς
αἰσθήσεις μὴ δύνασθαι τῶν μικρῶν
πραγμάτων ποιεῖσθαι τὴν ἀντίλη-
ψιν· μὴ δὲ τῶν μειζόνων· αὐτίκα γοῦν

καταλαμβάνεσθαι μὲν ὅτι· τοῦ δὲ λευ-
κότερον· καὶ μελάντερον· καὶ γλυκύ-
τερον καὶ πικρότερον καὶ μεῖζον· καὶ
τὰ λοιπά· μή· ἔτι μέντοι καὶ πα-
ρὰ πόσον, διὰ τοῦτο γοῦν καὶ καὶ εὑ-
ρῆσθαι μέτρα καὶ σταθμοὺς καὶ τοὺς
εὑρομένους θαυμάζεσθαι· εἴτε θεοί·
εἴτε ἄνθρωποι ἦσαν· καὶ τὸν μὲν δὴ ἀριθμὸν
παρέχεσθαι τὴν διάγνωσιν τῆς πο-
σότητος καὶ τοῦ πλήθους· οἷον τάδε
κατ' ὧνπερ τε πλείω ἐστί· τὸν δὲ σταθμὸν
τοῦ βάρους· καὶ τίνος ἧττον καὶ πλεῖ-
ον· καὶ τὸ μέτρον ἢ τὸ κῦμα τοῦ δὲ πλεῖ-
ον καὶ πόσον· καὶ εἰ τό τι τοῦ δὲ μεῖζον,
ἢ ἔλαττον· ἅπερ οὐκ ἂν δύναιτο αἰσθή-
σει τις συνιδεῖν· δῆλον δὲ ἂν γένοιτο
ἐκ τοῦδε· ὅσα μὲν γὰρ ἐπὶ μέτρῳ ἢ σταθ-
μῷ ἢ ἀριθμῷ λαμβάνειν διαγινώσκεται ἢ
διαφέρει· ὅσα δὲ μηδὲ ἐπὶ τούτων ἄγνω-
στον ἔχει τὴν διαφοράν· ἐπὶ γοῦν τοῦ
λευκοῦ καὶ μέλανος· καὶ πικροῦ καὶ
γλυκέος· οὐκ ἂν ἔχοι μὲν εἰπεῖν καὶ
τὸ αἰσθητόν· ὅτι δὲ τοῦ δὲ λευκότερον·
ἢ μελάντερον· ἢ γλυκύτερον· ἢ πικρό-
τερον ὥσπερ ἐπὶ τῶν λοιπῶν· τῶν
μὲν παρ' ἱκανὴν διάγνωσιν ποιοῦνται
αἱ αἰσθήσεις αὐτοὶ ποιεῖ· τῶν δὲ ἐπὶ πό-
σον ἀδύνατα ποιοῦσι καὶ τὴν ἐπὶ πλεῖον

πάλιν ποσότητα παρ' ὧν γένοιτ' ἂν ἡ δια-
φορὰ οὐκ ἴσασιν· οὕτω καὶ ἡ ἀκοὴ ἀδυνα-
τεῖ μετρῆσαι πῶς ἑ παραλλαγὴν· τῶν φθόγ-
γων αἰσθήσεις οἶσα ὁμοίως· οὔτε γὰρ πό-
σον βαρύτερος ὅδε τοῦδε ἐστὶν ἱκανὴ κα-
ταλαμβάνεσθαι ἀκοή· οὔτε πόσον ὀξύτε-
ρος· οὔτε μὴν τὸ διάστημα· πόσῳ
τόδε τοῦδε· μεῖζον ἄρα ἡμιτονίῳ ἢ-
τόνῳ· διὸ καὶ οἱ μαθηματικοὶ· εὗρον τὸ-
μέτρον ἐπὶ τοῦ κανόνος· τῆς τῶν-
φθόγγων παραλλαγῆς· εἰς τὸ γνῶναι
πόσῳ ἐστὶ μεῖζον· τὸ διάστημα· τὸ δὲ
τούτων ἀριθμῶν λόγου· διὸ δὴ ἐπιτή-
δειον ἐστὶ· ἑξῆς τρέπεσθαι ἐπὶ τὰς ἀπο-
δείξεις τὰς διὰ τοῦ κανόνος συνιστα-
μένας οὕτως γὰρ καὶ τοῖς φθόγγοις πα-
ρέχεται αἰσθητῶς τῇ ἀκοῇ καὶ δεικνύ-
σιν· ἐν οἷς ἐστὶ τὰ σύμφωνα τῶν διαστη-
μάτων· διὸ συμβαίνει ἐτυμολογικῶς
σύμφωνα καλεῖσθαι αὐτά· τοῦ γὰρ ἑνὸς
αὐτῶν κρουσθέντος φθόγγου τὸν ἕτερον
μηδαμῶς ἀψαμένοις· συμβέβη-
κεν ἀντηχεῖν· κάλλιστα δὲ ἐπὶ τῶν συμ-
φώνων ταδιας καὶ διὰ πασῶν· διὰ-
τὸ τοὺς ποιοῦντας κρουσθέντας
φθόγγους· ἅμα καὶ τὴν κρᾶσιν μάλι-
στα πάντων διάγνωστον ποιεῖν τὸν
περὶ ἑκατέρων τῶν φθόγγων ἦχον· ἀπο-

δείξομεν οὕτως· παρ' αὐτὴν τὴν ἀρχὴν ἀποκα-
θέστηκεν ἡ διὰ πασῶν ἡ συμφωνία ἐπὶ
τῶν ἐν διπλασίονι λόγῳ αὕτη ἡ συμφω-
νία· ἔστω γὰρ ἐπὶ τοῦ κανόνος ὅλος ὁ
φθόγγος ᾱ β̄· ἔτεμον οὖν τοῦτον κατὰ τὸ
ἥμισυ κατὰ τὸ γ̄ καὶ ὑποθεὶς τὸν ὑπα-
γωγέα κατὰ τοῦτο ἔκρουσα τὸν ὅλον τὸν
ᾱ ῡ συμφωνήσει δὴ ἡ διὰ πασῶν· οἷον
ἄρα ὁ ὅλος ῡ· ὁ ᾱ β̄ ἑνὸς ἂν εἴη ὁ γ̄ ῡ τὰ δὲ
δύο τοῦ ἑνὸς ἐπὶ διπλάσια· καὶ ποιοῦ-
σιν οἱ φθόγγοι τὴν διὰ πασῶν συμφω-
νίαν ἐν διπλασίονι λόγῳ· α —— γ —— β·
▭ ὑπαγωγεύς· ἡ δὲ διὰ ε̄ συμφωνία ἐ-
χομένη τῇ κρούσει οὖσα τῆς διὰ πασῶν
ἐστὶν ἐν ἡμιολίῳ λόγῳ· ἔστω γὰρ ὅλος φθόγγος
ὁ ᾱ β̄· ἔτεμον δὴ τοῦτον εἰς γ̄ κατὰ τὸ γ̄ καὶ
δ̄· καὶ ὑποθεὶς τὸν ὑπαγωγέα κατὰ τὸ γ̄·
ἐπέσονται δύο μέρη τοῦ γ̄ καὶ τοῦ ῡ ὑφελὼν τὸν
ὑπαγωγέα· ἔπεσον τὸν ὅλον φθόγγον· οἷον
ἄρα ὁ ὅλος φθόγγος τριῶν· δύο ἂν εἴη ὁ γ̄ β̄·
τὰ δὲ τρία τὰ τοῦ ᾱ β̄· τῶν δύο τῶν γβ
ἐφ' ἡμιόλιά ἐστι· καὶ περιέχουσιν οἱ φθόγ-
γοι, τὴν διὰ πέντε συμφωνίαν· ἥ ἐστιν ἐν
ἡμιολίῳ λόγῳ· τοῦ α —— γ —— δ —— β καὶ
τῶν δὲ προαποδεδειγμένων καὶ τὴν
ἀκοὴν λαμβάνοντων μαρτυροῦσαν τῇ
ἀποδείξει· ἐπὶ τοῦ κανόνος ἑπομέ-
νη ἀποδεικτέον· καὶ τὰ λοιπὰ σύμφω-

να διαστήματα· ἐν ὅσοις εἰσὶ λόγοις· χωρὶς αὐ-
τῆς τῆς ἀκοῆς· ἡ διὰ δ̄ τοίνυν συμφωνία
ἐν ἐπιτρίτῳ λόγῳ· ἔστω γὰρ διὰ πασῶν μὲν
διαστήματα τὸ αβ διὰ τῶν ε̄ δὲ διαστήματος
τὸ γβ καὶ ἐπειδὴ ἡ διὰ πασῶν συμφωνία ἐ-
πιδείκνυται ἐν ἡμιολίῳ λόγῳ· ἔστωσαν οἱ τοῦ γ τρι-
ῶν τοιούτων διὸ ὁ β· καὶ πάλιν ἐπεὶ δὲ ἡ διὰ
πασῶν συμφωνία ἀποδείκνυται ἐν δι-
πλασίονι λόγῳ· διὸ δὲ εἴρηται ὁ β, τεσσάρα
ἂν εἴη ὁ α· τὰ δὲ δ̄ τοῦ α τῶν τοῦ γ ἐστὶν ἐ-
πίτριτα· καὶ περιέχουσιν οἱ φθόγγοι τὴν διὰ
δ̄ συμφωνίαν· ἡ ἄρα διὰ δ̄ συμφωνία
ἐστὶν ἐν ἐπιτρίτῳ λόγῳ· ἡ δὲ διὰ πασῶν καὶ
διὰ ε̄ συμφωνία ἐστὶν ἐν τριπλασίονι λόγῳ·




ἔστω γὰρ διὰ πασῶν μὲν διαστήματα τὸ αβ· διὰ
ε̄ δὲ τὸ γβ· καὶ ἐπεὶ ἡ διὰ ε̄ συμφωνία εὕ-
ρηται ἐν ἡμιολίῳ λόγῳ ἔστωσαν τριῶν ὁ β τοι-
ούτων διὸ ὁ γ· καὶ ἐπειδὴ ἡ διὰ ε̄ συμφω-
νία εὕρηται ἐν διπλασίονι λόγῳ· διὸ δὲ ἐ-
στὶν ὁ γ· ἓξ ἂν εἴη ὁ α· τὰ δὲ ϛ τὰ τοῦ α τῶν
δύο τῶν τοῦ γ ἐστὶ τριπλάσια· καὶ ποιοῦ-
σιν οἱ φθόγγοι τὴν διὰ πασῶν καὶ διὰ ε̄ συμ-
φωνίαν· ἡ ἄρα διὰ ε̄ συμφωνία ἡ ἄρα διὰ ε̄
καὶ διὰ πασῶν ἐστὶν ἐν τριπλασίονι λόγῳ·
ἡ δὲ δὶς διὰ πασῶν ἐστὶ συμφωνία ἐν τετρα-
πλασίονι λόγῳ· ἔστω γὰρ διαστήματα τὸ αβ
καὶ ἕτερον διάστημα διὰ πασῶν τὸ βγ καὶ ἐπει-
δὴ ἡ διὰ πασῶν συμφωνία ἐν διπλασίονι λόγῳ



α πασῶν ἐστὶν ἐν διπλασίονι λόγῳ· β
διπλοῦς δέ· οὗ ἂν εἴη· τὰ δὲ τέσσαρα τὰ τοῦ α
τοῦ ἑνὸς τοῦ γ ἐστὶ τετραπλάσιον α·
καὶ ποιοῦσιν οἱ φθόγγοι τὸ δὶς διὰ πα-
σῶν συμφωνίαν· ἡ ἄρα δὶς διὰ πασῶν
συμφωνία, ἐστὶν, ἐν τετραπλασίονι λό-
γῳ· τό τε διὰ πασῶν· καὶ διὰ δ΄ διάστημα
ὅ φασιν οἱ κανονικοὶ σύμφωνον εἶναι·
ἔστω γὰρ διὰ πασῶν μὲν, τὸ α β· διὰ δ΄ δὲ,
διὰ τεσσάρων δὲ, τοῦ γ· καὶ ἐπειδὴ ἡ διὰ
δ΄ συμφωνία εὕρηται ἐν ἐπιτρίτῳ λό-
γῳ· ἔσται οἷον τριῶν· ὁ τ τοιού

των τεσσάρων οὗ· καὶ ἐπειδὴ ἡ διὰ πασῶν μὲν διά-
στημα εὕρηται ἐν διπλασίῳ λόγῳ· δ
δὲ ἐστὶν οὗ· ἂν εἴη ὁ α· ὁ δὲ η τῶν τρι-
ῶν τοῦ γ· οὔτε πολλαπλάσιόν ἐστι· οὔ-
τε ἐπιμόριον· καὶ ποιοῦσιν οἱ φθόγγοι τὸ
διὰ πασῶν· καὶ διὰ δ΄ διάστημα· τοῦτο
δὲ φασὶν οἱ κανονικοὶ μὴ εἶναι· συμφω-
νίαν· τὰ γὰρ σύμφωνα τῶν διαστη-
μάτων εὕρηνται ἐν λόγοις πολλαπλα-
σίοις ἢ ἐπιμορίοις· τὰ δὲ ἡ προσ-
ταγ εἶναι ὡς ἀριθμὸν πρὸς ἀριθμὸν
μηδὲ ἔχειν δὲ ῥητὸν λόγον· τὸ δὲ τονι-
αῖον διάστημα ἐστὶν ἐν ἐπογδόῳ λόγῳ·
ἔστω γὰρ διὰ ε΄ τὸ α υ διὰ τεσσάρων
δὲ τοῦ γ ὡς π τὸ καταλει-
πόμενον τὸ α γίνεται τονι-


αιον· ἐὰν γὰρ ἀπὸ τοῦ διὰ ε̄ ἀφαιρεθῇ τὸ δι-
ὰ δ̄ τὸ λοιπὸν ἐστὶ τονιαῖον· κατὰ λόγον τοῖς
μουσικοῖς· φασὶ γὰρ τονιαίῳ τὰ διὰ ε̄
τοῦ διὰ τεσσάρων μεῖζόν ἐστι· ἐπεὶ οὖν ἡ διὰ
δ̄ συμφωνία εἴρηται ἐν ἐπιτρίτῳ λό-
γῳ· ἔσται οἷον η̄ γ̄ ὀκτώ, ἓξ· τοῦ καὶ ἐπεὶ
δὴ ἡ διὰ ε̄ συμφωνία εὕρηται ἐν ἡμιολί-
ῳ λόγῳ· ϛ̄ ͻ καὶ οὐ θ̄ ἐννέα· ἂν εἴη ἃ τὰ
δὲ θ̄ τὰ τοῦ ᾱ πρὸς η̄ τῶν τοῦ γ̄ ἐστὶν ἐπόγ-
δοα· καὶ ποιοῦσιν· οἱ φθόγγοι τονιαῖα
διαστήματα· ὁ ἄρα τόνος ἐστὶν ἐν ἐπογ-
δόῳ λόγῳ· τὸν δὲ τόνον εἰς ἴσα τμήμα-
τα μὴ τέμνεσθαι φησὶν οἱ κανονικοί· μὴ
δὲ εἶναι κυρίως ἡμιτόνιον ἀλλὰ τὸ μὲν δ̄ ͻ
χρωματικὸν μεῖζον· τὰ δ' ἐλάσσω τμήματα
τοῦ τόνου διέσεις ἐκάλουν· μὴ δύνασθαι δὲ
τμηθῆναι μηδὲ τὸ ἡμιτόνιον οἱ μουσικοὶ
οἷον τέμνεσθαι· χρῶνται δὲ τῇ αἰσθήσει
κριτηρίῳ ἄλλων οὕτως· θ η ϛ




Τῆς μουσικῆς ἔλεξε Μαχεῖος γέρων· τόνοις
τρόποις· μέλη καὶ συμφωνίας· τούτῳ
συνῳδὰ Διονύσιος γράφων· τὸν παμ-
μέγιστον δὲ συντόνων παῖ· σοφ' Ἐρατήν,

δ' ἐχνιοῖ τεχνήματων · τῶν ἀπάντων
γὰρ σοφιῶν παιδεύματων ἐφεῦρε τὴν π
χαὶ δότην πεφίλωτα · ταύτης προσή
κει οὐδαμῶς εἶναι ξένον :-

ϛζζ εἰς μοῦσαν ·
φφφ
ἄειδε μοῦσα μοι φίλη ·
ϲρμ ρϲ φϲ
καλλιόπεια σοφά
γη καὶ πόντος καὶ πνοιαί ·
φοῖβος ἀκερσεκόμας εἴχετας ·
φμμμμ ϲ φμ λμ
ῥοδόεσσαν ὃς ἄντυγα πώλων
μζ μζ μ μ μ ζ
χρυσέαισιν ἀγαλλόμενος κόμαις
μ μ μ μ μ μ
ἀκτῖνα πολύστροφον ἀμπέλεχων
περὶ γαῖαν ἅπασαν ἑλίσσων ·
κατοῦ λύπον αἶαν κατα χορεύει ·
χρόνων ὥριον ἀπεμονῆσει
μέμεσοι πτερόεσσα βίου ῥοπά ·
ἔχοισα δὲ ὕψιν ὀλοὰν προ τῶν
ληθοισα δὲ παρ πόδα καίνεις
ζυγὸν μετὰ χεῖρα κρατοῦσα
σοῦ ἰαμβος μαχαῖος :
φ μ μ
μολπῆς δ' ἐμῆς κατάρχου ·
φ ηϲϲϲϲϲτR φ
μουσῶν προκαθαπτὶ πρὸ τὸν ὧν ·

εὐφαμεῖ πᾶς αἰθήρ ·
μέλλει γὰρ πρὸς ἡμᾶς βαίνειν ·
ϲϲϲϲ ιϲ ρϲ φϲ
χιονοβλεφάροις πατέρα σοῖς ·

2 ̗2 3 2. Η Ν ΙΙ

αὐγὴν δὲ σῶν ἀπαλόσειων

Κ Φ Ϲ Μ Μ

καὶ σοφὲ εὖ τοδοτα· ὑμενος εἰσ

ἤχοι φθογγοι τορ ῥιθων

πένοσ

σίον διπολά·

τίκτουσιν ἐπήρατον ἀμέραν

φοιμη δι τερ πόμενος λύρη

γέρηται δὲ τε οἱ νόος εὐμένης·

ἄκουφα φρυάγματα θνατῶν·

ὑπόσσον τροχὰν ἀπατον ἀγειμη·

ὑπὸ τὴν χῶν ἀειμιοτον μετρεισ·

γεμεσι πτέροεσ σαμιουρόπα·

Μ 2Η ΦϹ Ρ ΙΜΦϹ

ἔμασ φρένασ δόμειτω

Μ Λ Ι Ε 2 Γ Μ Ρ Ϲ Μ

λατοισ τον ε δ' ἠλίε παιαν·

οὔρεα πέμπαια σίγα πω·

Μ Ι Μ Ι Ρ Μ Ι 2 Λ 2

παρνοισ ὑπὸ χρευσι διώκεσ·

μι ζ ιμ ιρ Φ Ϛ ρρc

περὶ γῶν τον ἀπειρίτον ὅσσον

ποτὰ μοὶ δὲ σέθεν πυρὸς ἀμβρό[τυ]

ἄμε τον μέλος αἰ ἔμα εἴδων

λευκῶν ὑποσύρμασι μόσχων

κϋανῶν ἐπὶ θεὰ θΰγατερ δίκας

ι μ ϲ
αἴγλας πολυδερκέας παγά

σοὶ μὲν χορὸς εὔδιος ἀστέρων

γλαυκὰ δὲ πάροιθε σελάνα

πολυοιμοῦ κόσμον ἑλίσσων·

ἐπέχεις ἀδάμαντα χαλινῶ·
μέλανα φθονόν·
ω θω
χαροπὰ μερόπων στρέφεται τύχα·

γαυρούμενον αὐχένα κλίνεις

νεύεις δ᾽ ὑπὸ κόλπον ἀεικτωόφρω

ἵλαθι μάκαιρα δικασπόλε·

νεμέσι θεῶν, αἰδομένα φθίταν·

νίκων τανυσίπτερον ὀμβρίμαν·

νημερτία καὶ πάρεδρον δίκαν·

ἃ ταν μεγάλαν ὀρίαν βροτῶν

νεμέσεως ἀφαιρεῖς καὶ ταρτάρου: +

τέλος σὺν θεῷ ἀμήν:

θῦ τὸ δῶρον· καὶ πόνος τα-
πεινοῦ πέτρου:

δόξα τῷ θῷ

λ

Η ※ ρν:

ε

## ἡροδότου ἁλικαρνασέως περὶ τῆς τοῦ ὁμήρου γενέσεως καὶ ἡλικίας καὶ βιοτῆς :

ἡρόδοτος ἁλικαρνασεὺς, περὶ ὁ-
μήρου γενέσιος καὶ ἡλικίης, καὶ
βιοτῆς, τάδε ἱστόρηκε. ζητήσας
ἐπεξελθεῖν, εἰς τὸ ἀτρεκέστατον·
ἐπεὶ γὰρ κύμη ἡ πάλαι αἰολὶς
ἐκτίζετο, συνῆλθον ἐν αὐτῇ· παν-
τοδαπὰ ἔθνεα ἑλληνικὰ· καὶ δὴ
καὶ ἐκ μαγνησίας· ἄλλοι τε τινὲς
καὶ μελάνωπος ὁ ἰθαγένεος τοῦ
κρήθωνος· οὐ πολύφορτος· ἀλλὰ
βραχέα τοῦ βίου ἔχων· οὗτος δὲ
ὁ μελάνωπος, ἔγημεν ἐν τῇ κύμῃ,
θυγατέρα ὁμηρύτος καὶ αὐτῷ γί-
νεται ἐκ κοίτης θῆλυ τέκνον· ᾧ
οὔνομα τίθεται κρηθηΐς· καὶ αὐτὸς
μὲν ὁ μέλανωπος καὶ ἡ γυνὴ αὐτοῦ,
ἐτελεύτησαν τὸν βίον· τὴν δὲ
θυγατέρα ἐπιτρέπει ἀνδρὶ, ᾧ ἐ-
χρῆτο μάλιστα· κλεάνακτι τῷ ἀρ-
γείῳ· χρόνου δὲ προϊόντος, συνέβη

τὴν παῖδα μίξαν ἀνδρὶ λαθραί-
ως ἐν γαστρὶ σχεῖν· τὰ μὲν οὖν πρῶ-
τα ἐλάνθανεν· ἐπειδὴ ἤσθετο ὁ
κλεάναξ, ἤχθετο τῇ συμφορῇ· καὶ
καλεσάμενος τὴν κρηθηΐδα, χω-
ρὶς πάντων ἐν αἰτίῃ μεγάλῃ εἶ-
χεν· ἐπιλεγόμενος τὴν αἰσχύνην
τὴν πρὸς τοὺς πολιήτας· προ-
βουλεύεται οὖν, περὶ αὐτῆς τάδε·
ἔτυχον οἱ κυμαῖοι, κτίζοντες τό-
τε τοῦ ἑρμείου κόλπου τὸν μυχόν·
κτιζόμενοι οἱ δὲ, τὴν πόλιν τὴν πό-
λιν σμύρναν ἔθετο τὸ ὄνομα θησεὺς
μνημόσυνον ἐθέλων καταστῆσαι τῆς
ἑωυτοῦ γυναικὸς ὁμωνύμου· ἦν
γὰρ αὐτῇ τοὔνομα σμύρνα· ὁ δὲ
θησεὺς, ἦν τῶν τὴν κύμην κτισάν-
των ἐν τοῖς πρὸς τοῖς θεσσαλῶν
ἀπὸ εὐμήλου τοῦ ἀδμήτου, κάρ-
τα ἔχων τοῦ βίου εὖ· ἐνταῦθα ὑπεκ-
τίθεται ὁ κλεάναξ τὴν κρηθηΐδα
πρὸς ἰσμηνίην βοιώτιον, τῶν ἀποί-
κων λελογχότα· ὃς ἐτύγχανεν αὐ-
τοῦ ἐὼν ἑταῖρος τὰ μάλιστα· χρό-
νου δὲ προϊόντος, ἐξελθοῦσα
ἡ κρηθηῒς μετ' ἄλλων γυναικῶν
πρὸς ἑορτήν τινα ἐπὶ τὸν πο-
ταμὸν τὸν καλούμενον μέλητα

ἤδη ἐπίτοκος οὖσα, τίκτει τὸν
ὅμηρον· οὐ τυφλόν· ἀλλὰ δεδορ-
κότα· καὶ τίθεται ὄνομα τῷ
παιδίῳ μελησιγενέα· ἀπὸ
τοῦ ποταμοῦ τὴν ἐπωνυμίαν
λαβοῦσα· τέως μὲν οὖν ἡ κρη-
θηῒς ἦν παρὰ τῷ ἰοκηρτικῷ· προ-
ϊόντος δὲ τοῦ χρόνου, ἐξῆλθεν
καὶ ἀπὸ ἐργασίης χειρῶν ὁρμη-
μένη, ἔτρεφε τὸ παιδίον, καὶ ἑ-
ωυτήν· ἄλλοτε παρ᾽ ἄλλων ἔργα
λαμβάνουσα καὶ ἐπαίδευε τὸν
παῖδα, ἀφ᾽ ὧν ἠδύνατο· ἦν δέ
τις ἐν σμύρνῃ τοῦτον τὸν χρόνον,
φήμιος τοὔνομα παῖδας γραμ-
ματα καὶ τὴν ἄλλην μουσικὴν δι-
δάσκων πᾶσαν· οὗτος μισθοῦ-
ται τὴν κρηθηΐδα ὧν μόνο προπόσ
ἐριουργῆσαι αὐτῷ ἔρια τίνα, ἃ
παρὰ τῶν παίδων εἰς μισθὸν
ἐλάμβανεν· ἡ δὲ παρ᾽ αὐτῷ ἠρ-
γάζετο, πολλῷ κοσμίως καὶ σωφρο-
σύνῃ χρωμένη· καὶ τῷ φημίῳ κάρ-
τα ἤρεσκε το· τέλος δὲ προσηνέγ-
κατο αὐτῇ λόγους πείθων ἑωυτῷ
συνοικέειν· ἄλλα τε πολλὰ λέγων,
οἷς μιν ᾤετο προσάξεσθαι καὶ
ἔτι περὶ τοῦ παιδὸς ...ιον ποι-

γούμενος καὶ ὅτι τραφεὶς καὶ παι-
δευθεὶς ὑπ' αὐτοῦ, ἄξιος λόγου ἔσται·
ἑώρα γὰρ τὸν παῖδα ὄντα συνετὸν
καὶ κάρτα εὐφυέα, ἐς ταῦτ' ἐπέ-
σεισεν αὐτὴν ποιῆσαι ταῦτα· ὁ παῖς
ἥ τε φύσιν ἔχων ἀγαθὴν ἐπιμε-
λείης τε καὶ παιδεύσεως, προσ-
γενομένης αὐτίκα πολλὸν τῶν
πάντων ὑπερῆρε· χρόνου δὲ
ἐπιγινομένου, ἀνδρούμενος, οὐ-
δὲν τοῦ Φημίου ὑποδεέστερος ἦν·
καὶ οὕτως, ὁ μὲν Φήμιος ἐτελεύ-
τησε τὸν βίον, καταλιπὼν πάν-
τα τῷ παιδί· οὐ πολλῷ δὲ ὕστε-
ρον καὶ ἡ Κρηθηῒς ἐτελεύτησεν·
ὁ δὲ Μελησιγένης, ἐπὶ τῇ διδασ-
καλίᾳ καθειστήκει· καθ' ἑαυτὸν δὲ
γενόμενος, μᾶλλον ὑπὸ τῶν
ἀνθρώπων ἑωρᾶτο· καὶ αὐτὸν, θαυμά-
ζον καθεστήκεισαν· οἵ τε ἐγχώριοι
καὶ τῶν ξένων οἱ ἐσαπικνεύμε-
νοι· ἐμπόριον γὰρ ἦν Σμύρνα·
καὶ σῖτος ἐξήγετο πολὺς αὐτό-
θεν· ἐκ τῆς ἐπικειμένης χώρης
δαψιλέως κάρτα ἐσαγόμενος
ἐς αὐτήν· οἱ οὖν ξένοι ὁκότε παύ-
σοιντο τῶν ἔργων, ἀπεσχόλα-
ζον παρὰ τῷ Μελησιγένει ἐγκαθι-

ζοντες. ἦν δ' ἐν αὐτοῖς τότε καὶ μέντης ναύκληρος ἀπὸ τῶν περὶ λευκάδα τόπων κατα πεπλευκὼς ἐπὶ σῖτον ἔχων ναῦν, πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πολυΐστωρ· ὅς μιν ἔπεισε τὸν μελησιγενέα μεθ' ἑωυτοῦ πλεῖν, καταλύσαντα τὴν διδασκαλίαν· μισθόν τε λαμβάνοντα, καὶ τὰ δέοντα πάντα· καὶ ἔτι τὸ χώρας καὶ πόλιας θεήσασθαι, ἄξιον ἂν εἴη αὐτῷ, ἕως νέος ἐστί· καὶ μιν οἴομαι μάλιστα τούτοισι προσαχθῆναι· ἴσως γὰρ καὶ τὴν ποίησιν τότε ἐπενόει ἐπιθήσασασθαι. καταλύσας δὲ τὴν διδασκαλίην, ἐν αὐτῇ ἔπλεε μετὰ τοῦ μέντεω· καὶ ὅπου ἑκάστοτε ἀφίκοιτο, πάντα τὰ ἐπιχώρια διερευνᾶτο, καὶ ἱστορέων ἐπυνθάνετο. εἰκὸς δέ μιν ἦν καὶ μνημόσυνα πάντων γράφεσθαι. ἀνακομιζόμενοι δὲ ἐκ τῆς τυρσηνίης καὶ ἰβηρίης ἀπικνέονται εἰς τὴν ἰθάκην· καὶ τῷ μελησιγενέϊ συνέβη νοσήσαντι τοὺς ὀφθαλμοὺς, κάρτα δυσχερῶς ἔχειν· καὶ αὐτὸν θεραπείης εἵνεκεν πλεῖν μέλλων εἰς τὴν λευκάδα.

καταλιπεῖν, ὁ μὲν τῆς παρὰ ἀνδρὶ
φίλῳ ἑαυτοῦ ἐς τὰ μάλιστα Μέν-
τορι τῷ Ἀλκίμου Ἰθακησίῳ. πο-
λλὰ δὲ ἐνθάδε ἐπιμελείην εἶχεν· ἐ-
παρα πολλοὺς δὲ ἀπολείπε-
σθαι αὐτόν· ὁ δὲ Μέντωρ ἐνο-
σήλευεν αὐτὸν ἐκτενέως, καὶ γὰρ
τοῦ βίου ἀρκέοντος εἶχε· καὶ ἤ-
κουεν εὖ ἐς δικαιοσύνην τε καὶ
φιλοξενίην μακρῷ μάλιστα τῶν
ἐν Ἰθάκῃ ἀνδρῶν. Ἐνταῦθα συνέ-
βη τῷ Μελησιγενεῖ τὰ περὶ Ὀδυ-
σέως ἱστορῆσαι καὶ πυθέσθαι.
οἱ μὲν δὴ Ἰθακήσιοι λέγουσι τότε
μιν παρ' ἑωυτοῖς τυφλωθέντα·
ὡς δὲ ἐγώ φημι, τότε μὲν ὑγιῆ
γενέσθαι· ὕστερον δὲ ἐν Κολοφῶνι
τυφλωθῆναι· συνομολογεῦσι
δέ μοι καὶ Κολοφώνιοι τούτοις.
ὁ δὲ Μέντης ἀναπλέων ἐκ τῆς
Λευκάδος, προσέσχεν ἐς τὴν
Ἰθάκην καὶ ἀνέλαβε τὸν Μελησι-
γενέα. χρόνον τε ἐπὶ συχνὸν
συμπεριέπλει αὐτῷ. ἀπικο-
μένῳ δὲ ἐς Κολοφῶνα, συνέβη
πάλιν νοσήσαντα τοῖς ὀφθαλ-
μοῖς, μὴ δυνάσθαι διαφυγεῖν
τὴν νόσον ἀλλὰ τυφλωθῆναι

ἐνταῦθα· ἐκ δὲ τῆς κολοφῶνος
τυφλὸς ἐών· ἀπικνέεται ἐς
τὴν σμύρναν· καὶ οὕτως ἐπεχεί-
ρει τῇ ποιήσει· χρόνου δὲ προϊόν-
τος ἐν τῇ σμύρνῃ ἄπορος ἐὼν
τοῦ βίου, διενοήθη ἀπικέσθαι
ἐς κύμην· πορευόμενος δὲ διὰ
τοῦ ἕρμου πεδίου, ἀπικνέεται,
ἐς νέον τεῖχος ἀποικίην κυμαίων·
ᾠκίσθη δὲ τοῦτο τὸ χωρίον ὕστε-
ρον κύμης ἔτεσιν ὀκτώ· ἐνταῦ-
θα λέγεται αὐτὸν ἐπιστάντα ἐς
σκυτεῖον, εἰπεῖν πρῶτα τὰ
ἔπεα τάδε.

αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ
δόμοιο· οἳ πόλιν αἰπεινὴν κύ-
μην ἐριώπιδα κούρην, ναίετε
σαρδήνης πόδα νείατον ὑψικόμοιο·
ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο,
ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο ζεύς:

Ἡ δὲ σαρδήνη, ὄρος ἐστὶν ὑπερκείμενον
τοῦ τε ἕρμου ποταμοῦ καὶ τοῦ τείχεος·
τῷ δὲ σκυτεῖ, ὄνομα ἦν τυχίος· ἀκού-
σαντι δὲ τῶν ἐπέων, ἔδοξεν αὐτὸν
δέξασθαι τὸν ἄνδρα· ἠλέησε γὰρ αἰ-
τέοντα τὸν τυφλόν· καὶ ἐκέλευσεν εἰ-
σιέναι τε αὐτὸν εἰς τὸ ἐργαστήριον
καὶ μεθέξειν ἔφη τῶν παρεόντων·

ὁ δὲ, ἐσῆλθε· καὶ θήμενος δὲ ἐν τῷ
σκυτείῳ· παρεόντων καὶ ἄλλων,
τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο
ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν
ἐς θήβας· καὶ τοὺς ὕμνους τοὺς
ἐς θεοὺς πεποιημένους αὐτῷ· καὶ
περὶ τῶν λεγομένων ὑπὸ τῶν πα-
ρεόντων ἐς τὸ μέσον γνώμας ἀπο-
φαινόμενος, θαυμαστὸς ἄξιος ἐ-
φαίνετο εἶναι τοῖς ἀκούουσι. τέως
μὲν δὴ κατεῖχεν ὁ μελησιγενὴς πε-
ρὶ τὸ νέον τεῖχος, ἀπὸ τῆς ποιή-
σεώς τε τοῦ βίου τὴν μηχανὴν ἔ-
χων· ἐδείκνυον δ' οἱ νεοτειχεῖς μέ-
χρι ἐπ' ἐμοῦ τὸν χῶρον, ἐν ᾧ καθί-
ζων, τὴν τῶν ἐπέων ἐπίδειξιν
ἐποιέετο· καὶ κάρτα ἐσέβοντο τὸν
τόπον, ἐν ᾧ καὶ αἴγειρος ἐπεφύκει·
ἣν ἐκεῖνοι ἔφασαν ἀφ' οὗ ὁ μελησι-
γενὴς ἦλθεν αὐτοῖς πεφυκέναι·
χρόνου δὲ προϊόντος, ἀπόρως
κάμενος καὶ μόλις τὴν τροφὴν ἔ-
χων, ἐπενοήθη ἐς τὴν κύμην ἀ-
πικέσθαι εἴ τι μερτὸν πορήξει. μέ-
λλων δὲ πορεύεσθαι, τάδε τὰ ἔπεα
λέγει:
αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πό-
λιν ἀνδρῶν· τῶν γὰρ καὶ θυμὸς

παράφρων καὶ μή τις ἀρήγῃ· ἀπὸ
δὲ τοῦ νέου τείχεος πορευόμενος,
ἀπίκετο ἐς τὴν κύμην, διὰ λαρίσσης
τὴν πορείην ποιησάμενος· ἦν γὰρ
οὕτως αὐτῷ εὐπορώτατον καὶ ὡς κυμαῖοι
λέγουσι τῷ φρυγίης βασιλῆϊ μίδῃ,
τῷ γορδίεω δεηθέντων πενθερῶν
αὐτοῦ, ποιεῖ τὸ ἐπίγραμμα τόδε·
τὸ ἔτι καὶ νῦν ἐπὶ τῆς στήλης τοῦ
μνήματος τοῦ γορδίεω ἐπιγέ-
γραπται στίχοι τέσσαρες:
ἔστ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ
τεθήλῃ, ἠέλιος τ' ἀνιὼν λάμπῃ μα-
κρά τε σελήνη·
αὐτοῦ τῇδε μένουσα πολυκλαύτου
ἐπὶ τύμβου, ἀγγελέω παριοῦσι
μίδης ὅτι τῇδε τέθαπται· καθί-
ζων δὲ ἐν ταῖς λέσχαις τῶν γερόν-
των ἐν τῇ κύμῃ ὁ μελησιγενὴς τὰ
ἔπεα τὰ πεποιημένα αὐτῷ ἐπε-
δείκνυτο· καὶ ἐν τοῖς λόγοις ἔτερ-
πε τοὺς ἀκούοντας· καὶ αὐτοῦ θωϋ-
μασταὶ καθεστήκεσαν· γνοὺς δὲ ὅτι
ἀποδέχονται αὐτοῦ τὴν ποίησιν
οἱ κυμαῖοι· καὶ εἰς συνήθειαν ἐλκύων
τοὺς ἀκούοντας τοὺς λόγους, πρὸς
αὐτοὺς τοιούσδε προσήνεγκε λέγων·
ὡς εἰ θέλοιεν ἐν αὐτῷ δημοσίῃ τρέφειν

ἐπικλεέα τὴν αὐτῶν τὴν πόλιν·
ποιήσει· τοῖς δὲ ἀκούουσι, βουλο-
μένοις τε ἦν ταῦτα. καὶ αὐτοὶ πα-
ρῄνεον ἐλθόντα ἐπὶ τὴν βουλὴν
δεηθῆναι τῶν βουλευτέων, καὶ αὐ-
τοὶ ἔφασαν συμπορήσειν· ὁ δὲ, ἐπεί-
θετο αὐτοῖς· καὶ βουλῆς συλλεγο-
μένης, ἐλθὼν ἐπὶ τὸ βουλεῖον, ἐ-
δεῖτο τοῦ ἐπὶ τῇ τιμῇ ταύτῃ κα-
θεστῶτος, ἀπαγαγεῖν αὐτὸν ἐπὶ
τὴν βουλήν. ὁ δὲ, ὑπεδέξατό τε,
καὶ ἐπεὶ καιρὸς ἦν, ἀπήγαγε. κα-
ταστὰς δὲ ὁ μελησιγένης, ἔλεξε πε-
ρὶ τῆς τροφῆς τὸν λόγον, ὃν καὶ ἐν
ταῖς λέσχαις ἔλεγεν· ὡς δὲ ἀπεῖπεν
ἐξελθὼν ἐκάθητο· οἱ δὲ, ἐβουλεύον-
το ὅ τι χρεὼν εἴη, ἀποκρίνασθαι
τούτῳ· προθυμουμένου δὲ, τοῦ
ἀπαγαγόντος αὐτὸν, καὶ ἄλλων
ὅσοι τῶν βουλευτέων ἐν ταῖς
λέσχαις ἐπήκοοι ἐγένοντο, τῶν
βασιλέων, ἕνα λέγεται ἐναντιω-
θῆναι τῇ χρήμῃ αὐτοῦ· ἄλλα τε
πολλὰ λέγοντα καὶ ὡς ἐν τοῖς
ὁμήροις δόξει τρέφειν αὐτοῖς, ὅ-
μιλον πολλόν τε καὶ ἀχρεῖον ἕ-
ξουσιν· ἐνθεῦτεν δὲ καὶ τοὔνομα
ὅμηρος ἐπεκράτησε τῷ μελησιγένει

ἀπὸ τῆς συμφορῆς· οἱ γὰρ κυμαῖοι
τοὺς τυφλοὺς, ὁμήρους λέγουσιν
ὥστε πρότερον ὀνομαζομένου·
αὐτοῦ μελησιγενέος τοῦτο γενέσθαι
τοὔνομα ὅμηρος· καὶ οἱ ξένοι δὲ
ἤνεγκαν ὅτι μνήμην αὐτοῦ ἐ-
ποιεῦντο· ἐτελεύτα δὲ ὁ λόγος
τῷ ἄρχοντι, μὴ τρέφειν τὸν ὅμη-
ρον· ἔδοξε δὲ πως καὶ τῇ ἄλλῃ
βουλῇ· ἐπελθὼν δὲ ὁ ἐπιστάτης
καὶ παρεζόμενος αὐτῷ, διηγήσα-
το τοὺς ἐναντιωθέντας λόγους
τῇ χρήμῃ αὐτοῦ· καὶ τὰ δόξαντα
τῇ βουλῇ· ὁ δὲ, ὡς ἤκουσεν, ἐ δὲ
συμφοραῖμετε· καὶ λέγει τὰ ἔπεα τάδε:
οἵῃ μ' αἴσῃ δῶκε πατὴρ ζεὺς κύρμα γενέσθαι,
νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀταλλ(ωη),
ἥν ποτ' ἐπύργωσαν βουλῇ διὸς αἰγιόχοιο,
λαοὶ φρίκωνος μάργων ἐπιβήτορες ἵππων,
ὁπλότεροι μαλεροῖο πυρὸς κρίνοντες ἄρηα,
αἰολίδα σμύρναν ἁλιγείτονα ποντοτίνακτον,
ἥν τε δι' ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο μέλητος·
ἔνθεν ἀπορνύμεναι κοῦραι διὸς ἀγλαὰ τέκνα,
ἤθελέτην κλῇσαι δίαν χθόνα καὶ πό-
λιν ἀνδρῶν:
οἱ δ' ἀπανηνάσθην ἱερὴν ὄπα, φῆ-
μιν ἀοιδῆς,
ἀφραδίῃ· τῶν μέν τε παθών τις

φράσεται αὐτίς·
ὅς φιν ὀνείδεσσιν ἐμὸν δειμήσατο
πότμον·
Κῆρα δ᾽ ἐγὼ τὴν μοι θεὸς ὤπασε
γεινομένῳ περ,
τλήσομαι ἀκράαντα φέρων τετλη-
ότι θυμῷ·
οὐδέ τι μοι φίλα γυῖα μένειν ἱεραῖς
ἐν ἀγυιαῖς
Κύμης ὁρμαίνουσι· μέγας δέ με
θυμὸς ἐπείγει·
δῆμον ἐς ἀλλοδαπὸν ἰέναι
ὀλίγον περ ἐόντα:

Μετὰ τοῦτο ἀπαλλάσσεται ἐκ τῆς
Κύμης ἐς Φώκαιαν, Κυμαίοις ἐπα-
ρησάμενος, μηδένα ποιητὴν δό-
κιμον ἐν τῇ χώρῃ γενέσθαι· ὅς τοὺς
Κυμαίους ἐπαγλαΐσει· ἀπικόμενος
δὲ ἐς Φώκαιαν, τῷ αὐτῷ τρόπῳ ἐ-
βιότευεν· ἔπεα ἐνδεικνύμενος
ἐν ταῖς λέσχαις καθίζων· ἐν δὲ τῇ
Φωκαίῃ τοῦτον τὸν χρόνον, Θεσ-
τορίδης τις ἦν γράμματα διδάσ-
κων παῖδας· ἀνὴρ, οὐ κρήγυος·
κατανοήσας δὲ τὴν ποίησιν τοῦ
Ὁμήρου, λόγους τοιούσδε αὐτῷ
προσήνεγκε, φὰς ἕτοιμος θερα-
πεύειν εἶναι καὶ τρέφειν αὐτὸν ἀ-

μαλαβὼν· εἰ ἐθέλει ἅπε πεποιημέ-
να ἤδη αὐτῷ τῶν ἐπέων, ἀναγρά-
ψαι, καὶ ἄλλα ποιῶν, πρὸς ἑαυ-
τὸν ἀναφέρειν αἰεί. τῷ δὲ ὁμήρῳ
ἀκούσαντι, ἔδοξε ποιητέα εἶναι
ταῦτα· ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαί-
ων καὶ θεραπείης· διατρίβων δὲ
παρὰ τῷ θεστορίδῃ ποιεῖ ἰλιάδα τὴν
ἐλάσσω· ἧς ἐστὶν ἀρχή· ἴλιον ἀείδω,
καὶ δαρδανίην εὔπωλον· ἧς πέρι
πολλὰ ἔπαθον δαναοὶ θεράποντες
ἄρηος· καὶ τὴν καλουμένην φωκαΐ-
δα· ἥν φασιν οἱ φωκαεῖς, ὅμηρον
παρ' αὐτοῖσι ποιῆσαι. ἐπειδὴ δὲ τήν
τε φωκαΐδα καὶ τἆλλα παρὰ τοῦ
ὁμήρου ὁ θεστορίδης ἐγράψατο, δι-
ενοήθη ἐκ τῆς φωκαίης ἀπαλλά-
ττεσθαι τὴν ποίησιν θέλων τοῦ
ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκέτι
ὁμοίως ἐν ἐπιμελείῃ εἶχε τὸν ὅμη-
ρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε:
θεστορίδης θνητοῖσιν ἀφράστων πο-
λέων περ, οὐδὲν ἀφραστότερον πέ-
λεται νόου ἀνθρώποισι· ὁ μὲν θεστορίδης
ἐκ τῆς φωκίδος ἀπαλλαγεὶς ἐς τὴν
χίον· καὶ διδασκαλεῖον κατεσκευάσα-
το· καὶ τὰ ἔπεα ἐπιδεικνύμενος
ὡς ἑωυτοῦ ὄντα, ἔπαινόν τε πο-

λλον ἔχε καὶ ὠφελεῖτο· ὁ δὲ Ὅμη
ρος πάλιν τὸν αὐτὸν τρόπον
διῃτᾶτο ἐν τῇ Φωκαίῃ, ἀπὸ τῆς
ποιήσιος τὴν βίοτην ἔχων· χρό
νου δὲ οὐ πολλοῦ μετέπειτα ἄν
δρες Χῖοι ἔμποροι ἀπικόμενοι ἐς
τὴν Φώκαιαν, ἀκούσαντες δὲ τῶν
ἐπέων τοῦ Ὁμήρου ἃ πρότερον
ἀκηκόεσαν πολλάκις ἐν τῇ Χίῳ,
τοῦ Θεστορίδεω· ἐξήγγελλον Ὁμή
ρῳ ὅτι ἐν Χίῳ τις ἐπιδεικνύ
μενος τὰ ἔπεα ταῦτα γραμμά
των διδάσκαλος, κάρτα πολ
λὸν ἔπαινον ἔχει· ὁ δὲ Ὅμηρος
κατενόησεν ὅτι Θεστορίδης ἂν εἴη
καὶ παντὶ θυμῷ ἐσπούδαζεν ἐς
τὴν Χίον ἀπικέσθαι· καταβὰς
δὲ ἐπὶ τὸν λιμένα, ἐς μὲν τὴν Χίον,
οὐ καταλαμβάνει οὐδὲν πλοῖον
πλέον· ἐς δὲ τὴν Ἐρυθραίαν τινὲς
ἐπὶ ξύλα παρεσκευάζοντο πλεῖν,
καλῶς δὲ εἶχε τῷ Ὁμήρῳ δι' Ἐρυθραί
ων τὸν πλόον ποιήσασθαι· καὶ προσ
ελθὼν, ἐχρήιζε τῶν ναυτέων αὐτὸν
συμπλόουν· πολλά τε καὶ προσα
γωγὰ λέγων οἷς σφέας ἔμελλε πεί
σειν· τοῖς δὲ, ἔδοξε δέξασθαι αὐ
τὸν καὶ ἐκέλευον ἐσβαίνειν ἐς τὸ

πλοῖον· ὁ δὲ ὅμηρος πολλὰ ἐπαι-
μέσας αὐτοῖς, ἐσέβη· καὶ ἐπὶ ἱστό-
του λέγει τὰ ἔπεα τάδε· Κλῦθι
ποσειδάων μεγαλοσθενὲς ἐννοσί-
γαιε·
εὐρυχόρου μεδέων ἠδὲ ξάνθου ἑλι-
κῶνος·
δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα
νόστον ἰδέσθαι·
ναύταις οἳ νηὸς πομπῆες ἠδ' ἀρχοὶ
ἔασι·
δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο
μίμαντος·
αἰδοίων μελάθρων ἀβροτῶν ὁσίων
τε κυρῆσαι·
φῶτά τε τισαίμην ὃς ἐμὸν νόον ὑ-
περοπεύσας·
ὠδύσατο ζῆνα ξένιον ξενίην τε
τράπεζαν:
Ἐπεὶ δὲ ἀπικόμενοι εὐπλοΐσαντες
ἐς τὴν ἐρυθραίην· τὸ μὲν ὅμη-
ρος τὴν αὐλὶν ἐπὶ τὸ πλοῖον ἐ-
ποιήσατο· τῇ δὲ ὑστερέῃ, ἔχρηζε
τῶν ναυτέων τινὰ ἡγήσασθαι αὐ-
τῷ εἰς τὴν πόλιν· οἱ δὲ, συνέπεμ-
ψαν ἕνα αὐτῷ· πορευόμενος δὲ ὅ-
μηρος, ἐπεὶ ἔτυχε τῆς ἐρυθραίης,
τρηχείης τε καὶ ὀρεινῆς ἐούσης

φθέγγεται τάδε τὰ ἔπεα· ὡς ἄρα
δὴ τοῖσι μὲν ὁ ὄχθος ἐπίχθης· τοῖσι
δὲ διὸς βῶλος καὶ τρηχὺ οἷος ἐχωλότης·
ἀπικόμενος δὲ ἐς τὴν πόλιν τὴν ἐ-
ρυθραίων, ἐπηρώτησε περὶ τοῦ ἐς
τὴν χίον πλοῦ· καί τινος προσελ-
θόντος αὐτῷ τῶν ἑωρακότων ἐν τῇ
φωκίδι, καὶ ἀσπασαμένου, ἔχρηζεν
αὐτὸν συνεξευρεῖν πλοῖον, ὅπως
ἂν ἐς τὴν χίον διαβαίη· ἐκ μὲν δὴ
τοῦ λιμένος, οὐδὲν ἦν ἀπόστολον·
ἄγει δὲ αὐτὸν ἔνθε τῶν ἁλιέων τὰ
πλοῖα ὁρμίζεται· καὶ πως ἐν τύ-
χαν εἰ μέλλουσί τισὶ διαπλάν ἐς
τὴν χίον· ὧν ἐδέετο προσελθὼν ὁ
ἄγων αὐτὸν, ἀναλαβεῖν τὸν ὅμηρον·
οἱ δὲ οὐδὲν λόγον ποιησάμενοι, ἀ-
νήγοντο· ὁ δὲ ὅμηρος φθέγγεται τά-
δε τὰ ἔπεα:

ναῦται ποντοπόροι στυγερῇ ἐναλίγ-
κιοι ἄτῃ·
πτωκάσιν αἰθυίῃσι βίον δύστηνον
ἔχοντες·
αἰδεῖσθαι ξενίοιο διὸς σέβας ὑψι-
μέδοντος·
δεινὴ γὰρ μετόπισθε ξενίου διὸς ὅσ-
κ' ἀλίτηται:

ἀναχθεῖσι δὲ αὐτοῖς ἐναντίου ἀνέμ

γιγνομένου. συνέβη παλινδρομῆσαι·
καὶ ἐς τὸ χωρίον ἀναδραμεῖν· ὅθεν
ἀνηγάγοντο· καὶ τὸν Ὅμηρον ἀναλα-
μεῖν ἐπικατήμενον ἐπὶ τῆς κύμα-
τογῆς· μαθὼν δὲ αὐτοὺς παλιν-
δρομηκότας, ἔλεξε τάδε· ὑμᾶς ὦ
ξένοι ἔλαβεν ὁ ἄνεμος ἀντίος πε-
μόμενος· ἀλλ' ἔτι καὶ νῦν με δέξασθε
καὶ ὁ πλόος ὑμῖν ἔσται. οἱ δὲ ἁλιεῖς
ἐν μεταμελίῃ γενόμενοι, ὅτι οὐ καὶ
πρότερον ἐδέξαντο εἰπόντες ὅτι
οὐ καταλείπουσιν ἢν ἐθέλῃ συμ-
πλεῖν, ἐκέλευον ἐσβαίνειν καὶ οὕτως
ἀναλαβόντες αὐτὸν, ἀνήχθησαν·
καὶ ἴσχουσιν ἐπ' ἀκτῆς· οἱ μὲν δὴ
ἁλιεῖς, πρὸς ἔργον ἐτράποντο· ὁ
δὲ Ὅμηρος, τὴν μὲν νύκτα ἐπὶ τοῦ
αἰγιαλοῦ κατέμεινε· τὴν δ' ἡμέραν
πορευόμενος· καὶ πλανώμενος,
ἀπίκετο ἐς τὸ χωρίον τοῦτο, ὃ πίτυς
καλεῖται· κἀνθαῦτα αὐτῷ ἀναπαυο-
μένῳ τὴν νύκτα, ἐπιπίπτει καρ-
πὸς τῆς πίτυος· ὃν δὴ μετεξέτε-
ροι στρόβιλον· οἱ δὲ, κῶνον καλέουσιν·
ὁ δὲ Ὅμηρος φθέγγεται τὰ ἔπεα τάδε:
ἄλλη τίς σου πεύκη, ἀμείνονα καρ-
πὸν ἵησιν·
ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠ-

μενος ἔασκε·

ἔνθα σίδηρος ἄρης ἐπὶ χθονίοισι
βροτοῖσιν·
ἔσσεται εἰ δὴ ταῦ μὲν κευρήνιοι ἄν-
δρες ἔχωσι·

Τὰ δὲ κευρήνια τοῦτον τὸν χρόνον κτίζειν οἱ κυμαῖοι παρεσκευάζοντο πρὸς τῇ ἴδῃ· καὶ γίνεται αὐτόθι σίδηρος πολλός· ἐνθεῦτεν ἀναστὰς ὁ ὅμηρος, ἐπορεύετο, κατὰ φωνήν τινα αἰγῶν νεμομένων· ὡς δὲ ὑλάκτεον αὐτὸν οἱ κύνες, ἀνέκραγεν· ὡς δὲ ἤκουσεν ὁ γλαῦκος τῆς φωνῆς, ἦν γὰρ τοῦτο ὄνομα, τῷ νέμοντι τὰς αἶγας, ἐπιδραμὼν ὀτραλέως, τὰς δὲ κύνας ἀνεκαλέσατο, καὶ ἀπεσόβησεν ἀπὸ τοῦ ὁμήρου· ἐπὶ πολλὸν δὲ χρόνον, ἐθωΰμαζεν, ὅπως τυφλὸς ἐὼν, μόνος ἀφίκοιτο, ἐς τόπους ἀοικήτους· καὶ ἀστιβέα χωρία· καὶ τίνος κεχρημένος ἦν· ὁ δὲ ὅμηρος αὐτῷ πᾶσαν τὴν αὐτοῦ πάθην καταλεγόμενος, ἐς οἶκτον προηγάγετο· ἦν γὰρ ὡς ἔοικεν οὐδ' ἀγνώμων ὁ γλαῦκος, ἀναλαβὼν δὲ αὐτὸν, ἀνήγαγεν ἐπὶ τὸν σταθμόν· πῦρ τε ἀνακαύσας, δεῖπνον παρασκευάζει, καὶ παραθεὶς

δειπνεῖν ἐκέλευεν ὁ γλαῦκος· τῶν
δὲ κυνῶν μὴ ἐσθιόντων, καὶ ὑλακ-
τεόντων, διὰ προσιῶντας καθάπερ
εἰώθεσαν, λέγει πρὸς τὸν κλαῦκον
ὅμηρος τὰ ἔπεα τάδε:
γλαῦκε πετέων, ἐπιών τοι, ἔπος
τί τοι ἐνὶ φρεσὶ θήσω·
πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐ-
λείῃσι θύρῃσι·
δοῦναι· ὣς γὰρ ἄμεινον, ὁ γὰρ καὶ
πρῶτον ἀκούει
ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρ-
κεα θηρὸς ἰόντος:
ταῦτα ἀκούσας ὁ γλαῦκος, ἥσθη
τῇ παραινέσει, καὶ ἐν θωύματι εἶ-
χεν αὐτόν. δειπνήσαντες δὲ, διὰ
λόγων ἐγινόντο. ἀφηγεομένου δὲ
ὁμήρου τὴν πεπλάνην τὴν ἑωυ-
τοῦ· καὶ τὰς πόλεις ἃς ἐς ἀφί-
κετο, ἐκπληκτος ἦν ὁ γλαῦκος ἐς
ἀκούων· καὶ τό γε μὲν, ἐπειδὴ κοί-
του ἦν· ἀνέπαυε. τῇ δ' ὑστερέῃ,
διενοήθη ὁ γλαῦκος πρὸς τὸν δεσ-
πότην πορευθῆναι· σημανέων
τὰ περ τοῦ ὁμήρου· ἐπιτρέψας
δὲ τῷ συνδούλῳ νέμειν τὰς αἶγας,
τὸν ὅμηρον καταλείπει ἔνδον, εἰ-
πὼν πρὸς αὐτὸν, ὅτι ἰδίᾳ ταχέων

πορεύσομαι. καταβὰς δὲ ἐς βολίσον· ἐπεὶ δὲ πλησίον τοῦ χωρίου τούτου· καὶ συγγενόμενος τῷ δεσπότῃ, ἀπήγγειλε τὰ περὶ ὁμήρου πᾶσαν τὴν ἀλήθειαν· περὶ τῆς αὐτοῦ τῆς ἀφίξεως, ἐν θαύματι ποιούμενος· ἐρωτᾷ δὲ ὅ τι χρὴ ποιεῖν περὶ αὐτόν· ὁ δὲ, ὀλίγα μὲν προσίετο τῶν λόγων κατεγίνωσκε δὲ τοῦ γλαύκου ὡς ἄφρονος ἐόντος καὶ τὸν ἀνάπειρον δεχομένου καὶ τρέφοντος· ἐκέλευσε δὲ ὅμως ἄγειν τὸν ξεῖνον πρὸς ἑαυτόν· ἐλθὼν δὲ πρὸς τὸν ὅμηρον ὁ γλαῦκος, διηγήσατο ταῦτα· καὶ ἐκέλευσεν αὐτὸν πορεύεσθαι· οὕτω γὰρ εὖ πρήξειν. ὁ δὲ ὅμηρος ἤθελε πορεύεσθαι· ἀναλαβὼν σὺν αὐτὸν ὁ γλαῦκος, ἤγαγε πρὸς τὸν δεσπότην. διαλεγόμενος δὲ ἰὼν τῷ ὁμήρῳ ὁ χῖος, εὑρίσκει ἐόντα δεξιὸν καὶ πολλῶν ἔμπειρον, ἔπειθέ τε αὐτὸν μένειν καὶ τῶν παίδων ἐπιμέλειαν ποιεῖσθαι· ἦσαν γὰρ τῷ χίῳ παῖδες ἐν ἡλικίῃ· τούτοις σὺν αὐτῷ παρατίθησι παιδεύειν.

ὁ δὲ, ἐποίησε ταῦτα· καὶ τοὺς κέρκωπας· καὶ βατραχομυομαχίην· καὶ ψαρομαχίην· καὶ ἑπταπακτικὴν· καὶ

ἐπικιχλίδας καὶ τἆλλα πάντα
ὅσα παίγνια ἐστὶν ὁμήρου, ἐνθαῦτα
ἐποίησε παρὰ τῷ χίῳ ἐν βολισσῷ·
ὥστε καὶ ἐν τῇ πόλει, περιβόητος
ἤδη ἐγένετο τῇ ποιήσει· καὶ ὁ μὲν
θεστορίδης ὡς τάχιστα ἐπύθετο
αὐτὸν παρεόντα, ᾤχετο ἐκ πόλεων
ἐκ τῆς χίου· χρόνου δὲ περιιόντος
δεηθεὶς τοῦ χίου πορεῦσαι αὐτὸν
ἐς τὴν χίον, ἀπίκετο ἐς τὴν πό-
λιν· καὶ διδασκαλεῖον κατασκευα-
σάμενος, ἐδίδασκε παῖδας τὰ ἔ-
πεα· καὶ κάρτα δεξιὸς κατεδό-
κεεν εἶναι τοῖς χίοις· καὶ πολλοὶ αὐτῷ
θωυμασταὶ καθειστήκεσαν. συλλεξά-
μενος δὲ βίον ἱκανόν, γυναῖκα ἔγη-
μεν· ἐξ ἧς, αὐτῷ θυγατέρες δύο ἐ-
γένοντο· καὶ ἡ μὲν αὐτέων ἄγαμος
ἐτελεύτησε· τὴν δὲ, συνῴκισεν ἀν-
δρὶ χίῳ· ἐπιχειρήσας δὲ τῇ ποιή-
σει, ἀπεδίδου χάριν ἣν εἶχε· πρῶ-
τον μὲν, μέντορι τῷ ἰθακησίῳ, ἐν
τῇ ὀδυσσείᾳ· ὅτι μιν κάμνοντα
τοὺς ὀφθαλμοὺς ἐν ἰθάκῃ, ἐνοσή-
λευεν ἐκτενέως· τοὔνομα αὐτοῦ ἐναρ-
μόσας ἐς τὴν ποίησιν, ὀδυσῆος
τε ἑταῖρον φὰς εἶναι· ποιήσας ὀδυσ-
σέα ὡς ἐς τροίην ἔπλεε, μέντορι

ἐπιτρέψας τὸν οἶκον· ὡς ἐόντι
ἰθακησίοις ἀρίστῳ καὶ δικαιοτάτῳ·
πολλαχῆ δὲ καὶ ἄλλη τὶς ποιητι-
ὸς τιμᾷ αὐτὸν τὴν ἀθηνᾶν ὁπό-
τε ἐς λόγον τινὶ καθίσταται, τῷ
μέντορι εἰκείαν ποιεῖ, ἀπέδωκε
καὶ φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ,
τροφεῖα καὶ διδασκαλεῖα. ἐν τῇ ὀ-
δυσσεία μάλιστα ἐν τοῖς δὲ τοῖς
ἔπεσι:-
κῆρυξ δ' ἐν χερσὶ κίθαριν περικα-
λλέα θῆκε-·
φημίῳ ὅς τε πολλὰ ἐκαίνυτο πάντας
ἀοιδόν·
Καὶ πάλιν· αὐτὰρ ὁ φορμίζων ἀ-
νεβάλλετο καλὸν ἀείδειν:
μέμνηται δὲ καὶ τοῦ ναυκλήρου, με-
θοῦ ἐν πηρίε πλεύσι· καὶ εἶδε
πολίας πολλὰς καὶ χώρας ὧν
ὄνομα ἦν μέν της, ἐν τοῖς ἔπεσι
τοῖς δε-:·
μὲν τοῖς ἀγχιάλοιο δαΐφρονος
εὔχομαι εἶναι:
υἱὸς ἀτὰρ ταφίοισι φιληρέτμοισ
ἀνάσσω:
ἀπέδωκε δὲ χάριν καὶ τῷ χίῳ τῷ
σκύτει· ὃς ἐδέξατο αὐτὸν ἐν τῷ
μέσῳ προσελθόντα πρὸς τὸ σκύτειον·

ἐν τοῖς ἔπεσι καταλέξας ἐν τῇ Ἰ-
λιάδι·
τοῖσδε· αἴας δ' ἐγγύθεν ἦλθε, φέρων
σάκος ἠΰτε πύργον
χάλκεον ἑπταβόειον ὅ οἱ τυχίος
κάμε τεύχων·
σκυτοτόμων ὄχ' ἄριστος ὕλῃ ἔνι οἰ-
κία ναίων·
ἀπὸ δὲ τῆς ποιήσεως ταύτης εὐ-
δοκίμει ὅμηρος περὶ τὴν ἰωνί-
ην, καὶ ἐς τὴν ἑλλάδα ἤδη περὶ
αὐτοῦ λόγος ἀνεφέρετο· κατοικέων
δὲ ἐν τῇ χίῳ καὶ εὐδοκιμέων περὶ
τὴν ποίησιν, ἀπικνεομένων πο-
λλῶν, ἐς τὴν ἑλλάδα ἀπικέσθαι
συνεβούλευον οἱ ἐντυγχάνοντες
τῷ ὁμήρῳ· ὁ δέ, προσεδέξατο
τὸν λόγον· καὶ κάρτα ἐπεθύμει ἀ-
ποδημῆσαι, καταμαθὼν δέ, ὅτι
ἐς μὲν ἄργος πολλαὶ καὶ μεγάλαι
εὐλογίαι πεποιημέναι, εἰς δὲ
τὰς ἀθήνας οὔ, ἐμποιεῖ ἐς τὴν
ποίησιν· ἐς μὲν τὴν ἰλιάδα τὴν με-
γάλην, ἐρεχθέα μεγαλύνων ἐν νεῶν
καταλόγῳ τὰ ἔπεα τάδε·
δῆμον ἐρεχθῆος μεγαλήτορος ὅν-
ποτ' ἀθήνη·
θρέψε διὸς θυγάτηρ τέκε δὲ ζείδωρος

ἄρουρα:
καὶ τὸν στρατηγὸν αὐτῶν μενεσθέα
αἰνέσας ὡς πάντων εἴη ἄριστος
τάξαι πεζῶν στρατὸν καὶ ἱππότας,
ἐν τοῖσδε τοῖς ἔπεσιν εἶπας:
τῶν αὖθ' ἡγεμόνευ' υἱὸς πετεῶο μενε-
σθεύς:
τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος
γένετ' ἀνήρ·
κοσμῆσαι ἵπποις τε καὶ ἀνέρας ἀ-
σπιδιώτας:
αἴαντα δὲ τὸν τελαμῶνος καὶ σαλα-
μινίους, ἐν νεῶν καταλόγῳ, ἔτα-
ξε πρὸς ἀθηναίοις λέγων ὧδε:
αἴας δ' ἐκ σαλαμῖνος ἄγε δυοκαίδεκα
νῆας:
στῆσε δ' ἄγων ἵν' ἀθηναίων ἵσταν το φά-
λαγγες:
ἐς δὲ τὴν ὀδύσσειαν, τάδε ἐποίησεν.
ὡς ἀθήνα ἐς λόγους ἐλθοῦσα τῷ
ὀδυσσεῖ· ἐς τὴν ἀθηναίων πόλιν
ἀπίκετο· τιμῶσα ταύτην τῶν
ἄλλων πόλεων μάλιστα· ἵκετο
δ' ἐς μαραθῶνα καὶ εὐρυχόρους
ἐς ἀθήνας· δῦνε δ' ἐρεχθῆος πυ-
κινὸν δόμον: ἐμποιήσας δὲ ἐς
τὴν ποίησιν ταῦτα καὶ παρασκευα-
σάμενος, ἐς ἑλλάδα ποιήσασθαι

βουλόμενος τὸν πλοῦν, προσίσχει
τῇ σάμῳ. ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τε-
καιρὸν ἄγοντες ἑορτὴν ἀπατουρία.
καί τις τῶν σαμίων ἰδὼν τὸν ὅ-
μηρον· πρότερον αὐτὸν ὀπωπὼς
ἐν χίῳ. ἐλθὼν ἐς τοὺς φράτορας
διηγήσατο· ἐν ἐπαίνῳ μεγάλῳ ποι-
εύμενος αὐτόν. οἱ δὲ φράτορες, ἐκέ-
λευον ἄγειν αὐτόν. ὁ δὲ, ἐντυχὼν τῷ ὁμή-
ρῳ, ἔλεξεν αὐτῷ. ὦ ξεῖνε· ἀπατου-
ρία ἀγούσης τῆς πόλεως καλοῦσί
σε οἱ φράτορες οἱ ἡμέτεροι συνεορτά-
σοντα. ὁ δὲ ὅμηρος ἔφη ταῦτα ποι-
ήσειν· καὶ ᾔει μετὰ τοῦ καλέσαντος.
πορευόμενος δὲ, ἐγχρίπτει γυναι-
ξὶ κουροτρόφῳ θυούσαις ἐν τῇ τρι-
όδῳ· ἡ δὲ ἱέρεια ἀπεῖπε πρὸς αὐτὸν δυσ-
χεράνασα τῇ ὄψει· ἄνερ ἀπὸ τῶν ἱερῶν.
ὁ δὲ ὅμηρος ἐς θυμόν τε ἔβαλε τὸ ῥη-
θὲν, καὶ ἤρετο τὸν ἄγοντα, τίς τε ἡ
φθεγξαμένη, καὶ τίνι θεῶν ἱερὰ θύ-
εται. ὁ δὲ αὐτῷ διηγήσατο ὅτι γυνὴ
ἡ κουροτρόφῳ θύουσα. ὁ δὲ ἀκού-
σας, λέγει τὰ ἔπεα τάδε:
κλῦθί μοι εὐχομένῳ κουροτρόφε δὸς
δὲ γυναῖκα:
τήνδε, νέων μὲν ἀνήνασθαι φιλότη-
τα καὶ εὐνήν,

› ἥδ᾽ ἐπιτερπέσθω πολιοκροτάφοισι
γέρουσιν:
› ὧν ὥρη μὲν, ἀπήμβλυνται θυμὸς
δὲ μενοίνα·
Ἐπεὶ δ᾽ ἦλθεν ἐς τὴν φρήτρην, καὶ τοῦ
οἴκου ἔνθα δὴ ἐδαίνυντο ἐπὶ τὸν
οὐδὸν ἔβη. οἱ μὲν λέγουσιν καιομένου
πυρὸς ἐν τῷ οἴκῳ· οἱ δὲ φασὶ τότε
ἐκκαῦσαι σφᾶς ἐπειδὴ ὅμηρος τὰ
ἔπεα τάδε:
› ἀνδρὸς μὲν παῖδες στέφανος, πύργοι
δὲ τε πόληος,
› ἵπποι δ᾽ ἐν πεδίῳ κόσμος, νῆες δὲ θα-
λάσσης,
› χρήματα δ᾽ αὔξει οἶκον· ἀτὰρ γεραροὶ
βασιλῆες,
› ἥμενοι εἰν ἀγορῇ κόσμος τ᾽ ἄλλοισιν
ὁρᾶσθαι,
› αἰθομένου δὲ πυρὸς. γεραρώτερος
οἶκος ἰδέσθαι:
Εἰσελθὼν δὲ καὶ κατακλιθεὶς, ἐδαί-
νυτο μετὰ τῶν φρατόρων καὶ αὐτὸν
ἐτίμων, καὶ ἐν θωύματι εἶχον. καὶ
τό τε μὲν τὴν κοίτην αὐτοῦ ἐποιή-
σατο ὅμηρος τῇ δὲ ἐς αὔριον ἀπο-
πορευόμενον ἰδόντες κεραμέες
τινὲς κάμινον ἐγκαίοντες κεράμου
λεπτοῦ προσεκαλέσαντο αὐτὸν

ἐπιστάμενοι ὅτι σοφὸς εἴη, ἐκέλευόν
σφιν ᾆσαι· φάμενοι δώσειν αὐτῷ,
τοῦ κεράμου, καὶ ὅ τι ἂν ἄλλο ἔχωσιν·
ὁ δὲ Ὅμηρος ᾄδει αὐτοῖς τὰ ἔπεα
τάδε· ἃ καλεῖται κάμινος:

εἰ μὲν δώσετε μισθὸν ἀοιδῆς ὦ κερα-
μῆες·

Δεῦρ' ἄγ' Ἀθηναίη καὶ ὑπέρσχεθε χεῖρα
καμίνου·

εὖ δὲ μελανθοῖεν κότυλοι καὶ πάν-
τα μάλλ' ἱερά·

φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦ-
νον ἀρέσθαι·

πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα
πολλὰ δ' ἀγυιαῖς·

πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὥς
φιν νοῆσαι·

ἂν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψευ-
δῆ ἄρησθε·

συγκαλέω δὴ ἔπειτα καμίνου δηλη-
τῆρας·

Σύντριβ' ὁμῶς μάραγόν τε καὶ ἄσβε-
τον ἠδὲ σαβάκτον·

ὠμόδαμον ὃς τῇδε τέχνῃ κακὰ
πορίζει·

πεῖθε πυραίθουσαν καὶ δώματα σὺν
δὲ κάμινος,

πᾶσα κυκηθείη κεραμέων κωκυσάντων·

ὡς γναθὸς ἱππείη βρύκει βρύκοι-
δὲ κάμινος·
πάντ᾽ ἔντοσθ᾽ αὐτῆς κεραμήια λεπτὰ
ποιοῦσα·
Δεῦρο καὶ ἠελίου θυγάτηρ πο-
λυφάρμακος κίρκη,
ἄγρια φάρμακα βάλε κάκου δ᾽ αὐ-
τοῖς τε καὶ ἔργα·
Δεῦρο δὲ καὶ χείρων ἀγέτω πολέ-
ας κενταύρους·
οἵ θ᾽ ἡρακλῆος φυγον χεῖρας οἵ τ᾽ ἀ-
πόλοντο·
τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι
δὲ κάμινος·
αὐτοὶ δ᾽ οἰμώζοντες ὁρῶιατο ἔργα-
πονηρά·
Γηθήσω δ᾽ ὁρόων αὐτῶν κακοδαίμο-
να τέχνην·
ὃς δὲ χ᾽ ὑπερκύψει περὶ ταύτην πᾶν
τὸ πρόσωπον·
φλεχθείη ὡς πάντες ἐπίστων τ᾽ αἴ-
σιμα ῥέζειν:
παρακειμάζων δὲ ἐν τῇ σάμῳ ταῖς
νουμηνίαις προσπορευόμενος πρὸς
τὰς οἰκίας τὰς εὐδαίμονας ἐλάμβα
ἐλάμβανέ τι ἀείδων, τὰ ἔπεα τάδε.
ἃ καλεῖται εἰρεσιώνη· ὡδήγει δὲ
αὐτὸν καὶ συμπαρῆσαν αἰεὶ τῶν —

παίδων τινὲς τῶν ἐγχωρίων:-

Δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέ-
γα δυναμένοιο·

ὃς μέγα μὲν δύναται, μέγα βρέμει,
ὄλβιος αἰεί·

αὐταὶ ἀνακλίνεσθε θύραι· πλοῦτος
γὰρ ἔσεισι·

πολλός· σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη
τεθαλυῖα,

Εἰρήνη τ' ἀγαθή· ὅσα δ' ἄγγεα μεστὰ μὲν
εἴη,

κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι
μᾶζα·

τοῦ παιδὸς δὲ, γυνὴ κατὰ διφράδος
βήσεται ὕμμιν,

ἡμίονοι δ' ἄξουσι κραταίποδες, ἐς
τόδε δῶμα.

αὐτὴ δ' ὑφαίνει ἱστὸν ἐπ' ἠλέκτρῳ βε-
βαυῖα·

νεῦμαί τοι νεῦμαι ἐνιαύσιος ὥστε
χελιδών,

ἕστηκ' ἐν προθύροισι καὶ εἰ μέν τι δώσεις·

εἰ δὲ μή, οὐχ ἑστήξομεν, οὐ γὰρ συνοι-
κήσοντες ἐνθάδ' ἤλθομεν:-

ᾔδετο δὲ τὰ ἔπεα ταῦτα ἐν τῇ Σάμῳ ἐπὶ
πολὺν χρόνον ὑπὸ τῶν παίδων,
ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ Ἀπο-
λλωνος· ἀρχομένου δὲ τοῦ ἔαρος,

Ἐπεχείρησε πλεῖν ὅμηρος ἐκ τῆς
σάμου εἰς τὰς ἀθήνας· καὶ ἀνα-
χθεὶς μετά τινων ἐγχωρίων, ἀ-
πηνέχθη εἰς τὴν ἴον· καὶ ὡρμίσθη-
σαν, οὐ κατὰ πόλιν ἀλλ᾽ ἐπ᾽ ἀκτῆς·
Συνέβη δὲ τῷ ὁμήρῳ κατὰ πλοῦν
ἄρξασθαι μαλακῶς ἔχειν· ἐκβὰς
δὲ, ἐκ τοῦ πλοίου, ἐκοιμᾶτο ἐπὶ
τῆς κυματωγῆς ἀδυνάτως ἔχων·
πλείους δὲ ἡμέρας ὁρμεόντων
αὐτῶν δι᾽ ἀπλοΐην, καταβαίνοντες
αἰεί τινες τῶν ἐκ τῆς πόλιος, ἀ-
πεσχόλαζον παρὰ τῷ ὁμήρῳ·
καὶ ἐν θώματι εἶχον αὐτὸν, ἀκού-
οντες αὐτοῦ· τῶν δὲ ναυτέων καὶ
τῶν ἐκ τῆς πόλεως τινῶν ἡμέ-
νων παρὰ τῷ ὁμήρῳ, κατέπλω-
σαν παῖδες ἁλιῆες πρὸς τὸν τόπον·
καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίου, προσ-
ελθόντες πρὸς αὐτὸν, τάδε εἶπον·
ἄγετε ὦ ξεῖνοι, εἰσακούσατε ἡμέ-
ων ἂν ἄρα δυνήσθε διαγνῶναι ἅ-
σσ᾽ ἂν ὑμῖν εἴπωμεν· καὶ τις τῶν
παρεόντων ἐκέλευσε λέγειν· οἱ δὲ,
εἶπαν· ἡμεῖς ἅσσ᾽ εἵλομεν, κα-
ταλείπομεν· ἃ δὲ μὴ ἕλομεν φέ-
ρομεν· οἱ δὲ φασί· μετρικοῖσιν αὐ-
τοῖς· ἃσσ᾽ ἕλομεν, λιπόμεθα· ἃ

δ' οὐχ ἕλομεν, φερόμεθα· οὐ δυνα-
μένων δὲ τῶν παρεόντων γνῶναι
τὰ ῥηθέντα· διηγήσαντο οἱ παῖδες·
ὅτι ἁλιεύοντες, οὐδὲν ἐδυνάσαντο
ἑλεῖν· καθήμενοι δὲ ἐν τῇ γῇ ἐφθει-
ρίζοντο· καὶ ὅσους μὲν ἔλαβον τῶν
φθειρῶν, κατέλιπον· ὅσους δὲ μὴ
ἐδυνάσαντο, ἐς οἴκους ἀπεφέροντο·
ὁ δὲ ὅμηρος ἀκούσας· ταῦτα ἔλε-
λεγε τὰ ἔπεα:

τοιῶν γὰρ πατέρων ἐξ αἵματος ἐκγε-
γάασθε,
οὔτε βαθυκλήρων οὔτ' ἄσπετα μη-
λα νεμόντων:

ἐκ δὲ τῆς ἀσθενείης ταύτης, συνέ-
βη τὸν ὅμηρον τελευτῆσαι ἐν ἴω·
οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ
τῶν παίδων ῥηθέν, ὡς οἴονται
τινές· ἀλλὰ τῇ μαλακίῃ· τελευ-
τήσας δὲ, ἐτάφη ἐν τῇ ἴω αὐτοῦ
ἐπ' ἀκτῆς· ὑπό τε τῶν συμπλόων,
καὶ τῶν πολιτέων, ὅσοι ἐν δια-
λογῇ ἐγένοντο αὐτοῦ· καὶ τὸ ἐλεγεῖον-
το δὲ ἐπέγραψαν ἴηται ὕστερον,
χρόνῳ πολλῷ· ὡς ἤδη ἥ τε ποίη-
σις ἐξεπεπτώκει, καὶ ἐθαυμάζε-
το ὑπὸ πάντων· οὐ γὰρ ὁμήρου
ἐστίν:

> ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα
καλύπτει·
> ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον ὅ-
μηρον:
ὅτι δὲ ἦν αἰολεὺς ὅμηρος· καὶ οὔ-
τε ἴων· οὔτε δωριεὺς, τοῖς τε προει-
ρημένοις δεδήλωται, καὶ δὴ καὶ
τοῖσδε, τεκμαίρεσθαι πάρεστι.
ἄνδρα ποιητὴν τηλικοῦτον, εἰκὸς
ἐστὶ τῶν νομίμων τῶν παρὰ τοῖς
ἑαυτοῖς ποιοῦντα ἐς τὴν ποίησιν,
ἤτοι τὰ κάλλιστα ἐξευρόντα ποιεῖ-
ν· ἢ τὰ ἑωυτοῦ πάτρια ὄντα.
ἤδη τοίνυν τὸ ἐνθένδε αὐτοὶ τῶν
ἐπέων ἀκούοντες, κρίνετε· ἱερο-
ποιΐην γὰρ ἢ τὴν κρατίστην ἐξευρὼν
ἐποίησεν ἢ τὴν ἑωυτοῦ πατρίον
προσήκουσαν· λέγει γὰρ ὧδε· αὐέρυ-
σαν· πρῶτα μὲν καὶ ἔσφαξαν, καὶ
ἔδειραν· μηρούς τ' ἐξέταμον· κατά
τε κνίσῃ ἐκάλυψαν· δίπτυχα ποι-
ήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·
ἐν τούτοις γὰρ ὑπὲρ ὀσφύος οὐδὲν
εἴρηται, ᾗ ἐς τὰ ἱερὰ χρέονται· μο-
νώτατον γὰρ τῶν ἑλλήνων τὸ αἰ-
ολικὸν ἔθνος, οὐ καίει ὀσφῦν. δη-
λοῖ δὲ καὶ ἐν τοῖσδε τοῖς ἔπεσιν· ὅ-
τι αἰολεὺς ὢν, δικαίως τοῖς τοῦ-

τῶν ὁμοίοις ἐχρῆτο·
Καίε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθο-
πα οἶνον λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔ-
χον πεμπώβολα χερσίν· αἰολέες
γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε
ὀβελῶν ὀπτῶσιν· οἱ δὲ ἄλλοι ἕλλη-
νες ἐπὶ τριῶν· καὶ γὰρ ὀνομάζου-
σιν οἱ αἰολεῖς τὰ πέντε, πέμπε.
ταῦτα μὲν ὅσον ὑπὲρ τῆς γενέσιος καὶ
τελευτῆς καὶ βίου δεδήλωταί μοι·
περὶ δὲ ἡλικίης τοῦ ὁμήρου ἐκ τῶν
δὲ ἄν τις ἐπισκεπτόμενος, ἀκρι-
βῶς καὶ ὀρθῶς λογίζοιτο· ἀπὸ
γὰρ τῆς ἐς ἴλιον στρατείης ἣν ἀγα-
μέμνων καὶ μενέλαος ἤγειραν, ἔ-
τεσιν ὕστερον ἑκατὸν καὶ τριήκοντα
λέσβος ᾠκίσθη κατὰ πόλεις· πρό-
τερον ἐοῦσα ἄπολις· μετὰ δὲ
λέσβον οἰκισθεῖσαν, ἔτεσιν ὕστερον
εἴκοσι, κύμη ἡ αἰολιῶτις καὶ φρικω-
νὶς καλεομένη, ᾠκίσθη· μετὰ δὲ
κύμην, ὀκτὼ καὶ δέκα ἔτεσιν ὕστε-
ρον σμύρνα ὑπὸ κυμαίων κατῳκί-
σθη· καὶ ἐν τούτῳ γίνεται ὅμηρος·
ἀφ' οὗ δὲ ὅμηρος ἐγένετο, ἔτεα ἐ-
στὶν ἑξακόσια εἴκοσι δύο, μέχρι τῆς
ξέρξεω διαβάσιος· ὃς στρατευσά-
μενος ἐπὶ τοὺς ἕλληνας καὶ ζεύ-

ζας τὸν ἑλλήσποντον, διέβη ἐκ-
τῆς ἀσίης ἐς τὴν εὐρώπην· ἀ-
πὸ δὲ τούτου ῥηϊδίως ἐστὶν ἀριθμῆ-
σαι τὸν χρόνον, τῷ ἐθέλοντι ζη-
τεῖν ἐκ τῶν ἀρχόντων τῶν ἀθή-
νησι· τῶν δὲ τρωϊκῶν, ὕστερον
γεγένηται ὅμηρος ἔτεσιν ἑκατὸν
ἑξήκοντα:——

Τέλος τῆς ὁμήρου γενέσεως καὶ
ἡλικίας καὶ βιοτῆς:

τῷ θεῷ ἔπαινος

154

— 7 44 ıı

ἕως τοῦ εἶναι [illegible]
τοῦ [illegible]
[illegible]
σαι τὸν χρόνον [illegible]
τῶν [illegible] ἄρχον [illegible]
[illegible]
[illegible]
ἑξήκοντα ...

[illegible]

[illegible]